ΑΓΙΟΡΕΙΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ΑΓΙΟΡΕΙΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

ΜΗΝΙΑΙΟΝ ΕΚΚΛΗΣΙΑΣΤΙΚΟΝ ΚΑΙ ΘΡΗΣΚΕΥΤΙΚΟΝ ΠΕΡΙΟΔΙΚΟΝ

Περιλαμβάνον γενικῶς ἀνέκδοτον ἁγιορειτικὴν κ.λ.π. ὕλην, οἷον ἀνεκδότους Ἀκολουθίας ἁγίων, Κανόνας παρακλητικοὺς καὶ μή, καὶ ἄλλα σοφὰ ἀποφθέγματα ἁγίων ἀνδρῶν παλαιοτέρων καὶ νεωτέρων, εὑρισκόμενα εἰς τοὺς Κώδικας τῶν ἱερῶν Μονῶν.

ΕΚΔΙΔΟΜΕΝΗ ΥΠΟ
ΣΩΤΗΡΙΟΥ Ν. ΣΧΟΙΝΑ

ΕΤΟΣ Ε' 1940-41

1940
ΕΚΔΟΤΙΚΟΣ ΟΙΚΟΣ - ΣΩΤ. Ν. ΣΧΟΙΝΑ
ΕΝ ΒΟΛΩ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ΕΤΟΣ Ε. 1940-41 ΑΡ. 49 - 50

ΑΓΙΟΡΕΙΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

ΜΗΝΙΑΙΟΝ ΕΚΚΛΗΣΙΑΣΤΙΚΟΝ ΚΑΙ ΘΡΗΣΚΕΥΤΙΚΟΝ ΠΕΡΙΟΔΙΚΟΝ

Γιὰ τοῦτο καὶ μὲ δίκαιον κῆπον καὶ περιβόλι, τῆς Παναγίας Δέσποινας τὸ ὀνομάζουν ὅλοι.
(Καισάριος Δαπόντες)

ΙΔΡΥΤΗΣ ΑΘΑΝΑΣΙΟΣ ΛΑΥΡΙΩΤΗΣ (†1940) ΜΟΝΑΧΟΣ - ΙΑΤΡΟΣ | Ἐν Βόλῳ ΣΕΠΤΕΜΒΡΙΟΣ-ΟΚΤΩΒΡΙΟΣ 1940 | Διευθυντὴς - Ἰδιοκτήτης ΣΩΤ. Ν. ΣΧΟΙΝΑΣ Κοραῆ 47 ἐν Βόλῳ

Η ΕΛΠΙΣ ΟΥ ΚΑΤΑΙΣΧΥΝΕΙ

Εἰσερχόμεθα εἰς τὸ ε΄. ἔτος.

Ἡ ἀρχὴ τοῦ ἔτους τούτου εὑρίσκει τὴν Ἑλλάδα μας εἰς κατάστασιν ἀνθηρὰν ὄχι μόνον ἀπὸ ἀπόψεως πολιτικῆς ἑνότητος ἀλλὰ καὶ ἀπὸ θρησκευτικῆς ἐλπίδος καὶ πίστεως πλέον παρ' ἄλλοτε, εὔνομον καὶ ἀκμαίαν. Ὁ σίδηρος ὅσον σφυρηλατῆται καιόμενος, ἐπὶ τοσοῦτον λαμβάνει μορφὴν στιλπνήν, ὁ χρυσὸς τότε μόνον λαμπρύνεται περισσότερον καθ' ὅσον πυρακτώνεται.

Ἡ Ἑλλάς μας, ἡ ὀρθόδοξος Ἑλλάς, ἦτο πάντοτε πιστὴ εἰς τὸν Θεόν, τὸν νόμον Του τὸν εὐαγγελικὸν καὶ τὰς παραδόσεις Του, εἰς ὡρισμένας ὅμως ἱστορικὰς περιόδους ὑπῆρξε πολὺ θερμοτέρα εἰς τὴν πρὸς τὸν Κύριόν μας Ἰ. Χριστὸν πίστιν, καὶ τὴν πίστιν της αὐτὴν τὴν ἐξεδήλωνεν ἐμπράκτως, θυσιαζομένη σωματικῶς καὶ πνευματικῶς, εἴτε ὑπὲρ τῆς θρησκείας της εἴτε ὑπὲρ τῆς Πατρίδος. Αἱ περίοδοι αὗται παρουσιάζοντο εἰς ἡμᾶς ἄλλοτε μὲν ἀπὸ ἀποστασίαν πρὸς τὸν Θεὸν καὶ τὸν νόμον Του, εἰς ἣν περίπτωσιν ἐπενέβαινεν ἡ χάρις Του, καὶ τὸ ἔλεός Του διὰ διαφόρων τιμωριῶν, ἵνα μᾶς ἐπαναφέρῃ εἰς τὴν εὐθεῖαν ὁδόν, ὁπότε μετανοοῦντες ἐπεστρέφομεν πρὸς Αὐτόν, ἄλλοτε δὲ ἀπὸ διαφόρους πολιτειακὰς μεταβολὰς καὶ ἐσωτερικὰς ἐπαναστάσεις, καθ' ἣν ἐποχὴν ἐπέτρεπεν αὐτὸς ὁ Θεός, πάλιν πρὸς τὸ συμφέρον μας, διὰ λαῶν ξένων καὶ βαρβάρων, νὰ τιμωρηθῶμεν ἁπλῶς ἢ ὑποδουλωθῶμεν, ἐνδυναμούμενοι δὲ καὶ ζητοῦντες ἐν μετανοίᾳ τὸ ἔλεος τοῦ Κυρίου, ἐκερδίζαμεν τὴν νίκην ἐναντίον παντὸς ἐχθροῦ.

Ἐπέπρωτο ὅμως, ἡ θερμή μας πίστις πρὸς τὸν Θεὸν τῶν πατέρων μας, τὸ ἔμφυτον νομοταγὲς τοῦ Ἕλληνος Ὀρθοδόξου πρὸς τὸν Θεὸν καὶ τὴν ἀγαπημένην του πατρίδα Ἑλλάδα, διὰ τὴν ἐλευθερίαν τῆς ὁποίας, πρόσφατοι εἶναι ἀκόμη αἱ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

γιγαντομαχίαι τοῦ 1821 καὶ τοῦ 1912—13, εἰς ἃς ἀπεδύθη ὁ ἑλλ. λαὸς καὶ διὰ τὰς ὁποίας ἐπέσυρε τὸν θαυμασμὸν τῶν ἄλλων λαῶν, ἐπέπρωτο, λέγω, νὰ δοκιμασθῇ μὲ θλίψεις, συνεπείᾳ τῆς γενικῆς ἐν τῇ ἐγγὺς Εὐρώπῃ ἀκαταστασίας τοῦ πολέμου. Ἄγνωστον δὲ μέχρι σήμερον κράτος εὐρωπαϊκόν, ἀναμφιβόλως δὲ χριστιανικὸν καὶ πεπολιτισμένον, ἐνέπηξε καὶ ἡμάτωσε τὴν μάχαιράν του κρυφίως καὶ ὑπούλως εἰς τὴν καρδίαν τῆς Ἑλλάδος, βυθίσαν ἓν ἀπὸ τὰ δοξασμένα πλοῖά μας, τὴν «Ἕλλην». Αὐτὸ δὲν ἦτο δι' ἡμᾶς παρὰ μία σοβαρὰ καὶ συγκλονιστικὴ θλῖψις. Καλὸν θὰ ἦτο διὰ τὸν ἐχθρὸν νὰ μὴ μᾶς ἔδιδε τὴν θλῖψιν αὐτήν, διότι αὕτη ἐγέννησεν εἰς ἡμᾶς ἐθνικὴν φλόγα ἄσβεστον, μᾶς ἐγέννησε τὴν δύναμιν καὶ τὴν ΕΛΠΙΔΑ, ὅτι ὁ Θεός, Ὅστις πάντοτε εἰς αὐτὰς τὰς περιστάσεις ἐνεθάρρυνε καὶ ἐσήριζε τοὺς Ἕλληνας, καὶ πάλιν ὁ ἴδιος θὰ εὐδοκήσῃ ν' ἀποδώσῃ ὄχι τὴν νίκην, ἀλλὰ τὸ ΔΙΚΑΙΟΝ τὸ ὁποῖον σήμερον καταπατεῖται ἀσυστόλως.

Ὅπως λοιπὸν εἰς τὰς περιστάσεις ἐκείνας ὁ Θεὸς ἐδικαίωσε καὶ ἐδόξασε τὴν Ἑλλάδα, οὕτω καὶ σήμερον θὰ πράξῃ, μὲ τὴν προϋπόθεσιν ὅτι θὰ μετανοήσωμεν.

Ἄλλοτε ὁ Θεὸς πρὸς ἀπελευθέρωσιν τοῦ λαοῦ του τοῦ Ἰουδαϊκοῦ ἔστειλε δύο ἀνθρώπους, τὸν Μωϋσέα καὶ τὸν Ἀαρών, οἵτινες βραδέως μὲν ἀλλ' ἀσφαλῶς ὡδήγησαν αὐτὸν εἰς τὴν γῆν τῆς Ἐπαγγελίας τὴν ῥέουσαν μέλι καὶ γάλα, νῦν δὲ ὁ αὐτὸς Θεὸς ἔδωκεν εἰς ἡμᾶς τὸν λαμπρόβλητον **Βασιλέα μας Γεώργιον** καὶ τὸν ὀξυδερκῆ Κυβερνήτην **Ἰωάννην Μεταξᾶν**, οἵτινες εὐσεβοῦντες εἰς Αὐτὸν καὶ ὑπακούοντες, θὰ μᾶς ὁδηγήσουν βραδέως μὲν διὰ θλίψεων καὶ στενοχωριῶν, ἀσφαλῶς δὲ εἰς τὴν ἐπηγγελιμένην παρὰ τῶν πατέρων μας κληρονομίαν, τὴν ὁποίαν κατεκύρωσαν ποταμοὶ αἱμάτων καὶ ἀπαρασάλευτα ἀπὸ αἰώνων ἱστορικὰ δίκαια.

Οἱ διαιτώμενοι ἐν τοῖς ὄρεσι καὶ σπηλαίοις καὶ τῆς πατρικῆς εὐσεβείας λαμπάδες ζῶσαι ἐξ ἀρετῶν, ἁγιορεῖται μοναχοί, οὐ παύονται δεόμενοι νυχθημερὸν τοῦ Κυρίου ὑπὲρ τῆς κατευοδώσεως τῆς ἀποστολῆς αὐτῶν· ἔχομεν δὲ τὴν ἀδιάσειστον πεποίθησιν, ὅτι ἡ Ἑλλὰς θὰ ἐξέλθῃ δεδικαιωμένη ἐκ τῆς λαίλαπος ταύτης ἢ οἱ ἐπιβουλευόμενοι καὶ μηχανορραφοῦντες κατὰ τῆς πατρίου παρακαταθήκης της.

ΒΑΣΙΛΕΥ ΓΕΩΡΓΙΕ,
ΙΩΑΝΝΗ ΜΕΤΑΞΑ,

Πρέπει νὰ ὑπερηφανεύεσθε, διότι ἡγεῖσθε λαοῦ ὅπως ὁ ἑλληνικός, ὁ ὁποῖος ὑπέρ ποτε εἶναι πειθήνιος εἰς τὰ κελεύσματά Σας, ἀκμαῖος καὶ προδιατεθειμένος διὰ πᾶσαν θυσίαν, πρᾶγμα τὸ ὁποῖον εἶναι ἡ φωνὴ τῆς ἐθνικῆς του παραδόσεως. Τὸ δολοφονικὸν μαχαίρι κατὰ τοῦ φρουροῦ τῆς ἑλληνικῆς πίστεως, ἐπλήγωσε βαθύτατα τὴν ἐθνικὴν ψυχήν· ἐστὲ δὲ βέβαιοι ὅτι προβάλλοντες τὸ ἀήττητον λάβαρον, τὸν τίμιον Σταυρόν, ὡς ὁ Μέγας Κωνσταντῖνος, καὶ τὴν χριστιανικὴν ἐλπίδα ἥτις μεγαλουργεῖ, ὡς ἀσπίδα, θὰ προχωρήσητε ἀσφαλῶς καὶ ἀδιστάκτως διὰ μέσου τῶν ἀκανθῶν τῆς γνωστῆς ἀγνώστου ἐπιβουλῆς.

Ἡ Ἐλπὶς οὐ καταισχύνει.

Σ. Σ.

ΙΩ. ΣΠΑΘΑΡΗ - ΚΑΘΗΓΗΤΟΥ

ΑΝΑΜΝΗΣΕΙΣ
ΕΚ ΤΗΣ ΖΩΗΣ ΚΑΙ ΤΗΣ ΤΕΧΝΗΣ
ΤΟΥ ΑΓΙΟΥ ΟΡΟΥΣ

Η ΠΑΝΗΓΥΡΙΣ ΤΟΥ ΑΓΙΟΥ ΑΘΑΝΑΣΙΟΥ
(Κτίτορος τῆς Μεγίστης Λαύρας)

— Ἀναχώρησις τῆς ἱερᾶς θεωρίας ἐκ τῆς προβλῆτος τῆς μονῆς τῶν Ἰβήρων

Ἡμέρας ὅλας πρὸ τῆς παραμονῆς οἱ μοναχοὶ εὑρίσκονται εἰς γενικὴν ἀναστάτωσιν καὶ ἀπασχόλησιν μὲ τὴν παρασκευὴν τῶν ἀπαιτουμένων πρὸς μεγαλοπρεπεστέραν ἐμφάνισιν τῆς μονῆς, ἰδίᾳ κατὰ τὸν πανηγυρισμὸν τοῦ πάτρωνος ἁγίου· ὡς πρὸς τοῦτο δὲ κοινὴ ἀντίληψις ἐπικρατεῖ εἰς τὸ Ἅγιον Ὄρος, τῶν μονῶν φιλοτιμουμένων ποία νὰ ὑπερβάλῃ τὴν ἄλλην εἰς τὴν ὅσον ἔνεστι θεαματικωτέραν καὶ εὐσεβόφρονα ἐκδήλωσιν τῆς ὀφειλομένης τιμῆς πρὸς τοὺς πάτρωνας καὶ προστάτας αὐτῶν. Ὁ καθαρισμὸς τῶν ἱερῶν σκευῶν, αἱ ἐπενδύσεις τῶν ἱερῶν εἰκόνων, ἡ προπαρασκευὴ φαγητῶν καὶ συσσιτίων διὰ τὴν εὐπροσωποτέραν τῆς μονῆς ἀνάδειξιν εἰς τὰ ὄμματα τῶν φιλοξενουμένων, οἵτινες τότε ἰδίᾳ ἐξαιρετικῶν ἀπολαύουσι περιποιήσεων, ἵνα τρανότερον τὸ πνεῦμα τῆς χριστιανικῆς ἀγάπης καταφανῇ, ἀποτελοῦσι πράγματι κάτι τὸ συγκινητικὸν διὰ τὴν ψυχὴν τοῦ πιστοῦ, ἀλλὰ καὶ τὸ ἐποικοδομητικὸν ἐπὶ τῇ θέᾳ τοῦ ἀπείρου πλήθους τοῦ κατακλύζοντος τὰ ἔνδον καὶ περίχωρα τῆς μονῆς, μὲ μόνην τὴν μυχίαν ἐπιθυμίαν τῆς καρδίας του ὅπως ὑποστῇ ἀνεπτέρωσιν τοῦ θρησκευτικοῦ του συναισθήματος ἀναρριπιζομένου ὑπὸ τὰς γλυκυφώνους ἐπικλήσεις τῶν μοναχῶν, καὶ ἀπὸ τὴν λάμψιν τῶν πολυχρώμων ἀμφιέσεων τῶν ἱερέων βοηθουμένων εἰς τὰ ὑπ' αὐτῶν τελετουργούμενα ὑπὸ τῶν βαθυστοχάστων καὶ ἁρμονικῶν μελῳδιῶν τῆς Ἐκκλησίας μας. Μὲ τὴν πρόθεσιν λοιπὸν νὰ μετάσχωμεν τοῦ ἑορτασμοῦ μιᾶς τῶν μεγαλυτέρων πανηγύρεων ἐν ἁγίῳ Ὄρει, ἀπεπλεύσαμεν ἐκ τοῦ ὁρμίσκου τῆς μονῆς τῶν Ἰβήρων, ἐπιβαίνοντες ἐλαφροῦ βενζινοκινήτου ἀκατίου, ἄλλωστε εὐκόλου λείας τοῦ ἀπεράντου πελάγους, τὸ ὁποῖον ἐξετείνετο μέχρι τοῦ Ἑλλησπόντου καὶ τῶν μικρασιατικῶν παραλίων· ἐκτὸς ἡμῶν, ἦτοι τοῦ συνεκδήμου κ. Σ. Βραχνοῦ καὶ ἐμοῦ, τῆς ἱερᾶς θεωρίας τοῦ προσκυνήματος μετεῖχον οἱ ἀντιπρόσωποι τῶν ἁγιορειτικῶν μονῶν καὶ ὁ ῥηξικέλευθος καὶ ἱπποτικὸς Διοικητὴς τοῦ ἁγίου Ὄρους φίλος ἡμῶν παλαιόθεν· μετὰ δίωρον πλοῦν ἐφθάσαμεν εἰς τὸ νεώριον τῆς Λαύρας μὲ τὴν ψυχὴν κατὰ τὸ δὴ λεγόμενον εἰς τὸ στόμα, ὅπου καὶ ἀνεπέμψαμεν ὕμνους εὐχαριστηρίους εἰς τὴν Ὑπέρμαχον Στρατηγὸν ἐπὶ τῇ παρ' ἐλπίδα διασώσει μας. Δὲν εἶναι δὲ ὑπερβολὴ τὸ λεγόμενον, ἂν λάβωμεν ὑπ' ὄψιν ὅτι ἐνῷ ἀμερίμνως συνεζητοῦμεν εἰς ἀτμόσφαιραν φιλικῆς διαχύσεως περὶ θεμάτων περιστρεφομένων περὶ τὰ θαύματα τοῦ πανηγυριζομένου ἁγίου καὶ τῶν κατορθωμάτων, τὰ ὁποῖα ἐπετέλεσε διὰ νὰ φυτεύσῃ εἰς τὰ ἔρημα ἐκεῖνα μέρη μίαν καρποφόρον ὄασιν τῆς χριστιανικῆς ψυχῆς, μετὰ τὴν παράκαμψιν τῆς ἄκρας τῆς Γαλιάγρας, τὸ ἐλαφρὸν καὶ σκαθρὸν ἀκάτιον ἡμῶν ἤρχισε χοροπηδοῦν καὶ σαλευόμενον ἐπὶ τῆς ἐπιφανείας τῆς θαλάσσης, κατὰ τρόπον ἀνεξήγητον δεδομένου ὅτι, οὔτε ἀνέμου πνοὴ σφοδρὰ ἔπνεεν, οὔτε κύμα-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

τα ἐφαίνοντο διογκούμενα· κατὰ τὴν ἀντίληψιν ὅλων ὑποβρύχια ῥεύματα ἀπ' αὐτοῦ τοῦ Ἑλληνικοῦ ἔχοντα τὴν ἀφετηρίαν συνετάρασσον τὸν βυθὸν τῆς θαλάσσης, ὡς ἐκ τούτου δὲ λικνιζόμενον λοξῶς τὸ ἀκάτιον μὲ τάσεις ἀνατροπῆς ἐνέπνεε φρικιάσεις τρόμου εἰς τοὺς ἐπιβάτας του ὧν οὐκ ὀλίγοι ὠχριάσαντες περιελούοντο καὶ ὑπὸ ἰδρῶτος ἀπὸ κορυφῆς μέχρις ὀνύχων χωρὶς νὰ ἀναφέρωμεν καὶ τὸ ὅτι ἐνίων σπασμωδικῶς ἔτριζον ἀνεπαισθήτως οἱ ὀδόντες, συνοδευομένου τοῦ φαινομένου τούτου καὶ ὑπὸ συστάσεως τῶν μυῶν καὶ ἐλαφροῦ τρόμου αὐτῶν διὰ τὴν ἀγωνίαν. Οἱ διακριτικώτεροι ἐξ ἡμῶν ἀντελήφθημεν ὅτι πράγματι διετρέχομεν κίνδυνον, ὄχι μόνον ἐκ τούτου, ὅτι ἀπὸ τῆς Γαλιάγρας καὶ πέραν εἶχε παύσει ἡ χαριτολόγος διάθεσις τῶν συμπλωτήρων μας, ἥτις διεχύνετο ἀπὸ ὅλων τὰ στόματα, καλῶς ἐχόντων τῶν πραγμάτων, ἀλλὰ καὶ ἀπὸ τὴν στάσιν εὐλαβείας τὴν οὐχὶ ἄμοιρον τρόμου, ὅστις ἔδωσε διέξοδον εἰς τὰ διακατέχοντα ἡμᾶς συναισθήματα διὰ τῆς προσηλώσεως τοῦ νοῦ μας εἰς τὸν ἑορτάζοντα ἅγιον Ἀθανάσιον, ὅστις κατὰ τὸ τροπάριον, «τῶν δαιμόνων κατετρόπωσε φάλαγγας», καὶ εἰς τὸ θεοτοκίον «ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ τῆς ἀπειρογάμου νύμφης εἰκὼν διεγράφη ποτέ», ἅτινα ἀναμελπόμενα ὑπὸ τῶν μοναχῶν διεσκέδασαν τὰ μελανὰ τοῦ θανάτου πτερά, τῶν ὁποίων ἡ ψυχρὰ πνοὴ ἤρχισεν ἤδη νὰ πλήττῃ τὴν ἐξημμένην φαντασίαν μας. Καὶ αὐτὸς ὁ διαγωνιζόμενος πρὸς τὸ ὕψος τοῦ ἱστοῦ τῆς βενζινακάτου εὐσταλὴς εὔζωνος μὲ νὰ στήθῃ διακοσμούμενα ὑπὸ τῶν πιρασήμων τῆς ἀνδρείας, ἀνέλαβε θάρρος σταυροκοπούμενος καὶ ὑπηχῶν τὴν γλυκεῖαν ψαλμῳδίαν. Τέλος ἔδωκεν ὁ Κύριος νὰ εἰσέλθωμεν εἰς τὸν ἤρεμον τῆς μονῆς ὅρμον, ὅπου ἐνῷ ἔξω ἐμαίνετο θαλασσοταραχή, ἐκεῖ ἡσυχα ἐπλευρίσαμεν εἰς τὴν προβλῆτα καὶ μετὰ τῶν ἀντιπροσώπων τῶν μονῶν τοῦ γραμματέως τῆς διοικήσεως καὶ τοῦ φιλόφρονος φίλου ἡμῶν ἀστυνομικοῦ διοικητοῦ τοῦ ἁγ. Ὄρους κ. Ἀθαν. Κούτσα κατηυθύνθημεν εἰς τὸ παρὰ τὸν ἀστυνομικὸν στυθμὸν καφενεῖον, ὅπου ἀνελάβομεν δυνάμεις συνελθόντες ἐκ τῶν περιπετειῶν, τὰς ὁποίας ἐδοκιμάσαμεν.

— **Τῷ οἴκῳ Σου πρέπει ἁγίασμα, Κύριε, εἰς μακρότητα ἡμερῶν**

Δόξα ὅμως ὀφείλεται τῷ Παντοδυνάμῳ, ὅστις μᾶς ἀφήρπασεν ἀπὸ τὸ ὕδωρ τὸ ἀνυπόστατον καὶ μᾶς ἠξίωσε νὰ παρευρεθῶμεν εἰς τὴν πανήγυριν τοῦ ἁγίου, ἥτις μᾶς ἀπεζημίωσε καὶ πνευματικῶς καὶ ἠθικῶς δι' ὅσα κακὰ ὑπεφέραμεν. Μετ' ὀλίγον οἱ ἔξωθεν ἀναμένοντες βορδιονάριοι (ἀγωγιᾶτες) μᾶς ἀνεβίβασαν ἐπὶ εὐτραφῶν ἡμιόνων μὲ ποικιλόχρωμα ἐπισάγματα καὶ ἀφοῦ ἐκαθήσαμεν ἀναπαυτικὰ ἐπ' αὐτῶν, ἠρχίσαμεν τὴν ἄνοδον πρὸς τὴν μονήν, ὅπου μετὰ ἡμίσειαν ὥραν ἀντικρύσαμεν τοὺς προϊσταμένους αὐτῆς ἐξελθόντας εἰς προϋπάντησιν ἡμῶν καὶ ἔχοντας ἐπὶ κεφαλῆς τὸν ὁσιώτατον καὶ ἐλλογιμώτατον πρύτανιν τῆς μοναστικῆς κατὰ Λαύραν ἀδελφότητος, σοφὸν ἰατρὸν Ἀθανάσιον, (ἤδη μεταστάντα πρὸς Κύριον) προσφωνοῦντα μετὰ μεγάλης μειλιχιότητος καὶ καταδεκτικότητος τὸ «καλῶς ὡρίσατε». Δὲν ἐπροφθάσαμεν ν' ἀφιππεύσωμεν, ὅτε ἤρχισαν νὰ τίθενται εἰς κραδασμὸν πολυάριθμοι κώδωνες διαφόρου ἐντάσεως ἤχου, ἄλλοι μὲν μὲ τὴν βαρύτητα, ἄλλοι δὲ μὲ τὸ ὕψος των ἀπαρτίζοντες ἐναρμόνιον χαιρετιστήριον συμφωνίαν, ἡ ὁποία σοῦ ἐσήκωνε ὑψηλὰ τὸν νοῦν ἀπὸ τῶν ἐγκοσμίων. Ἡ πομπὴ ὁλόκληρος προηγουμένων τῶν προεστῶν τῆς μονῆς καὶ ἀκολουθούσης τῆς πληθύος τῶν προσκυνητῶν ἀνέρχεται μὲ βραδέα βήματα εἰς τὴν αἴθουσαν τῆς δεξιώσεως τοῦ ἀρχονταρικίου (ξενῶνος), ὅπου ὁ ἐνδημῶν καὶ ἐφησυχάζων μητροπολίτης Μελιτουπόλεως, Βορ. Ἠπείρου Ἱερόθεος, μὲ ἱεροπρεπὲς παράστημα καὶ χωρὶς καμμίαν ἔταρσιν συνωμίλει ἐπιχαρίτως καὶ οἰκείως πρὸς τοὺς προσελθόντας ξένους ἀνταλλάσσων ἐντυπώσεις καὶ ἐκφέρων τὴν ἔγκυρον γνώμην του εἰς τὰς ἀναφυομένας συζητήσεις. Μετὰ τὸ γεῦμα συνιστάμενον ἐξ ἀφθόνων καὶ τεχνηέντως καρυκευμένων ἐδεσμάτων καὶ ὀλιγόωρον ἀνάπαυσιν, ἀφοῦ ἐλιτανεύθη ἀπὸ τοῦ παρεκκλησίου, ὅπου εἶναι ἐνθρονισμένη ἡ θαυματουργὸς εἰκὼν τῆς περιωνύμου Παναγίας τῆς Κουκουζελίσσης, ἀπαστράπτουσα ἐκ τῶν ἀδαμάντων τιμαλφῶν ἀναθημάτων καὶ πολυτελοῦς ἐπενδύσεως, ἤρχισεν ἀπὸ τῆς 4ης περίπου ὥρας ὁ ἑσπερινὸς διὰ νὰ ἐπακολουθήσῃ ἄνευ διακοπῆς ἡ ἀγρυπνία μὲ τὸν πρὸ τῆς λειτουργίας ἁγιασμὸν εἰς τὴν εἴσοδον τοῦ καθολικοῦ ἐντὸς ὑποστέγου φιάλης, διὰ τοῦ λιθοκολλήτου ἐκ τιμίου ξύλου σταυροῦ, δώρου ἀμυθήτου ἀξίας τοῦ κτίτορος τῆς μονῆς Νικηφόρου τοῦ Φωκᾶ. Κατὰ τὴν ἀλλεπάλληλον ταύτην ἐν λογικῷ εἱρμῷ καὶ ἐν βαθεῖ συμβολισμῷ ἐκτύλιξιν τῶν διαφόρων φάσεων τῶν ἱερῶν τελετῶν καὶ ἀκολουθιῶν, ὁ Μητροπολίτης μετέχων ἐνεργῶς τῆς ἱερουργίας ἵστατο ἄκαμπτος εἰς τὸν θρόνον του, παρὰ τὸ βαρὺ φορτίον τῆς ἡλικίας του, καὶ τῶν ἀμφίων του, προσκλίνων μόνον ὑπὸ τύπον φευγαλέας ἀναπαύσεως πρὸς τὴν ποιμαντορικήν του ῥάβδον, διὰ ν' ἀποτινάξῃ τὸν ἀκούσιον ἐκ τῆς κοπώσεως νυσταγμὸν τῶν βλεφάρων.

Αἶνοι καὶ ὕμνοι, πρὸς τὸν κρατύναντα καὶ δοξάσαντα τὸν ἅγιον Θεόν, πληροῦν τὴν ἀτμόσφαιραν τοῦ ναοῦ, διακοπτόμενοι ἀπὸ καιροῦ εἰς καιρὸν ἀπὸ τὴν διάτορον φωνὴν τοῦ ἀναγνώστου, ἥτις δεσπόζει τῶν ψαλμῳδιῶν, ἐνῷ ἀπὸ τὰ κατσία, θυμιατήρια ἄνευ ἁλύσεων, ἀλλὰ μετὰ βάσεως μεταλλίνης καὶ γλυκυφθόγγων κωδωνίσκων, ἀναδίδονται ἀρωματώδεις ἀτμίδες, ἡ δὲ θέα τοῦ θυμιῶντος διὰ τῆς μιᾶς χειρὸς διακόνου καὶ διὰ τῆς ἑτέρας ἀνέχοντος ναόσχημον ὁμοίωμα, εἰς ἔνδειξιν τοῦ ὅτι ὁ μοναχικὸς βίος θεωρεῖται ὡς ὁ στυλοβάτης τῆς Ἐκκλησίας, σοῦ δημιουργεῖ τὴν ἐντύπωσιν ὅτι παρευρίσκεσαι εἰς οὐράνιον τελετήν, ἔνθα τὰ πάντα ἐξαϋλωμένα ψάλλουν μακρὰν τοῦ κόσμου καὶ τῆς ἐπιθυμίας αὐτοῦ, ἥτις παράγεται, τὸν ὕμνον τῶν θαυμασίων τοῦ Θεοῦ.

Ἐκεῖνο δὲ τὸ ὁποῖον θὰ σοῦ προκαλέσῃ ῥίγη συγκινήσως εἶναι ἡ ὑπὸ τοῦ διακόνου, εἰς τὸ ἐπιβλητικὸν καὶ οἰκεῖον περιβάλλον τῆς χριστιανικῆς ἀνατάσεως, ἐκφώνησις τῶν εὐσεβεστάτων αὐτοκρατόρων τῶν κτιτόρων τῆς μονῆς, καὶ παρ' αὐτοὺς μνημονεύονται οἱ σήμερον διάδοχοί των Βασιλεῖς τῶν Ἑλλήνων, οἵτινες συνεχίζουν τὴν παράδοσιν, ἣν ἐκεῖνοι ἐκληροδότησαν ὡς ὑπερμάχων τῆς ὀρθοδόξου πίστεως. Τὴν μεταρσίωσιν αὐτὴν τοῦ προσκυνητοῦ συμπληροῦσιν οἱ ὑποτονθορυζόμεναι ὑπὸ τῶν μοναχῶν προσευχαί, ἡ ἀντοχὴ αὐτῶν κατὰ τὴν πολύωρον ἀγρυπνίαν καὶ ἡ ἐνσυνείδητος στάσις των, ἥτις εἶναι ἀντιστρόφως ἀνάλογος πρὸς τὸν σωματικὸν κάματον. Μετὰ τὴν θείαν λειτουργίαν διανέμονται κόλλυβα, ἀπὸ 2 δίσκων πελωρίων, διαμέτρου πλέον τοῦ 1 μέτρου ἑκάστου, ἐπὶ τοῦ ἑνὸς τῶν ὁποίων τῇ βοηθείᾳ πολυχρώμου σακχάρεως ἔχουν καλαισθητικώτατα φιλοτεχνηθῇ εἰς δικέφαλος ἀετός, τοῦ ὁποίου ἡ ἀμφιλαφὴς σκιὰ σκέπει ἀνατολὴν καὶ Δύσιν, τὴν ἄλλοτε οἰκουμένην τῆς Βυζαντινῆς φρασεολογίας, ἤτοι τὸν πεπολιτισμένον κόσμον, ἐπὶ τοῦ ἑτέρου δὲ τὸ σταυροφόρον Βασιλικὸν στέμμα τῆς ἀνασούσης δυναστείας ἡμῶν μετὰ ζωηροτάτης τῶν χρωμάτων ἀπεικονίσεως, ὥστε νὰ ἀποτελοῦν πραγματικὰ ἀριστουργήματα καλλιτεχνικά, τιμῶντα τὴν καλαισθητικὴν ἐπίδοσιν τῶν μοναχῶν.

(Ἀκολουθεῖ)

Athos Library
Αγιορειτική Βιβλιοθήκη



Ὁ ἅγιος Πέτρος
Ὁ Ἀθωνίτης

Ὁ ἅγιος Ὀνούφριος
Ὁ Αἰγύπτιος

ΑΚΟΛΟΥΘΙΑ ΠΑΝΗΓΥΡΙΚΗ ΤΩΝ ΟΣΙΩΝ ΚΑΙ ΘΕΟΦΟΡΩΝ ΠΑΤΕΡΩΝ ΗΜΩΝ ΟΝΟΥΦΡΙΟΥ ΤΟΥ ΑΙΓΥΠΤΙΟΥ ΚΑΙ ΠΕΤΡΟΥ ΤΟΥ ΑΘΩΝΙΤΟΥ

ΕΟΡΤΑΖΟΜΕΝΩΝ ΤΗ ΙΒ΄ ΙΟΥΝΙΟΥ

(Ποίημα Γερασίμου μοναχοῦ Μικραγιαννανίτου)

Ἀπεστάλη ἡμῖν πρὸς ἔκδοσιν τύποις παρὰ τοῦ Γέροντος ἀσκητοῦ Δανιὴλ Σπηλαιώτου μοναχοῦ, τῇ συμπράξει καὶ συνεργασίᾳ τοῦ ἁγιογραφικοῦ οἴκου Ἀδελφότητος Χαλδαίζων ἐν Νέᾳ Σκήτῃ ἁγίου Παύλου τοῦ ἁγίου Ὄρους.

ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Ἱστῶμεν στίχους δ΄. καὶ ψάλλομεν τὰ ἑπόμενα στιχηρὰ προσόμοια.

Ἦχος δ΄. Ὡς γενναῖον ἐν μάρτυσιν.

Ἰχνηλάτης πανάριστος, τοῦ Προδρόμου τῆς χάριτος, τὴν ψυχὴν πτερούμενος θείῳ ἔρωτι, ὡς ἀληθῶς ἐχρημάτισας, Ὀνούφριε ὅσιε, ἐν ἐρήμῳ γὰρ στερρῶς, κατοικήσας ἠξίωσαι δόξης κρειττονος, καὶ Ἀγγέλων ἐτράφης θείῳ ἄρτῳ, ὡς συνέστιος τῶν ἄνω, ὡς τῶν ἐν κόσμῳ ὑπέρτερος.

Ὡς τεθέαται ὅσιε, ὁ κλεινός σε Πάφνουτιος, χαρμονῆς πεπλήρωται καὶ ἐκπλήξεως· ὅτι οὐράνιον Ἄγγελον, ἑώρα ἐν σώματι, καὶ ἐδόξαζε Χριστόν, τὸν λαμπρῶς σε δοξάσαντα καὶ τὸ τίμιον, καὶ σεπτόν σου κηδεύσας πάτερ σῶμα, σάλπιγξ γέγονεν ἐν κόσμῳ, τῆς εὐαγοῦς πολιτείας σου.

Τὸν τοῦ Πέτρου συνώνυμον, καὶ τοῦ Ἄθω τὸν πρώταρχον, Πέτρον τὸν θεόφρονα, μακαρίσωμεν· τῆς Θεοτόκου προνοίᾳ γάρ, δεινῇ ἐγκαρθείρξεως, ὡς ἐρρύσθη θαυμαστῶν, πολιτείαν φιλόθεον καθυπέσχετο, καὶ ἐν Ὄρει κατάρας τῷ τοῦ Ἄθω, ἃ συνέθετο ἐν θλίψει, στερρῶς εἰς ἔργον ἠγάγετο.

Ὅσπερ θήραμα κάλλιστον, θηρευτὴς ὁ φιλόχριστος, μυστικῶς θηρεύσας σε τὸν κρυπτόμενον, κήρυξ ἐδείχθη διάτορος, τῶν λαμπρῶν ἀγώνων σου, καὶ τῶν θείων δωρεῶν, τῷ ἐνθέῳ πληρώματι Πέτρε ὅσιε, καὶ πιστοῖς τὸ μακάριόν σου σκῆνος, ὡς τῆς χάριτος ταμεῖον, θεοπρεπῶς ἐφανέρωσε.

Δόξα. Ἦχος δ΄.

Τοὺς ὑπὲρ φύσιν διωσαμένους, ὡς τὸν κόσμον Εὐαγγελικῶς ἀπρ-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

στραφέντας, Ὀνούφριον αἰνέσωμεν, καὶ Πέτρον τὸν μακάριον. Ὁ μὲν γὰρ ἐν Αἰγύπτῳ, τὴν τῶν παθῶν Αἴγυπτον καταλιπών, τῆς ἀπαθείας τῷ λειμῶνι ἐνήλασεν· ὁ δὲ ἐν Ὄρει τοῦ Ἄθω, τὸν ἐξ αἰωνίων ὀρέων φωτίζοντα ὑπέρθεον Λόγον, ἀσκητικῶς ἐδόξασε. Καὶ ἀμφότεροι παρὰ Θεοῦ δοξασθέντες, ἀπαύστως πρεσβεύουσιν, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου φύλαττε, εὐλογημένη Θεοτόκε, ἵνα σε δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Ἀπόστιχα

Ἦχος β΄ Οἶκος τοῦ Εὐφραθᾶ

Χαίροις τῶν ἀσκητῶν, δυὰς ἡ παννοσία, Ὀνούφριε καὶ Πέτρε, πολῖται τῆς ἐρήμου, θεῖοι καὶ οὐρανόφρονες.

Στίχ. Καυχήσονται ὅσιοι ἐν δόξῃ, καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.

Ἴσοι τὴν ἀρετήν, ἰσότιμοι τῇ δόξῃ, ὡράθητε Πατέρες, κἂν διαφόροις χρόνοις, ἐνθέως ἠγωνίσασθε.

Στίχ. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν.

Ἄστρον χρυσοφαές, ἐκ τῆς Αἰγύπτου ὤφθη, Ὀνούφριος ὁ μέγας, σέλας δὲ ἡσυχίας, ὁ Πέτρος ἐν τῷ Ἄθωνι.

Δόξα. Τριαδικὸν

Πάτερ σὺν τῷ Υἱῷ, καὶ Πνεύματι τῷ θείῳ, Πέτρου καὶ Ὀνουφρίου, δέχου τὰς ἱκεσίας, καὶ οἰκτειρον τὸ πλάσμα σου.

Καὶ νῦν. Θεοτοκίον

Ἤκουσε τῶν σεπτῶν, ῥημάτων σου ὁ Πέτρος, καὶ ἔδραμεν ἐν Ἄθῳ, καὶ ὤφθη σοι Παρθένε, θεράπων οἰκειότατος.

Τὸ νῦν ἀπολύεις, τὸ Τρισάγιον, καὶ τὸ Ἀπολυτίκιον μετὰ τοῦ Θεοτοκίου, ὅρα εἰς τὸ τέλος τοῦ μεγ. Ἑσπερινοῦ.

ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους η΄ καὶ ψάλλομεν τὰ ἑπόμενα στιχηρὰ προσόμια.

Ἦχος πλ. δ΄.
Ὦ τοῦ παραδόξου θαύματος,

Πάτερ θεόφρον Ὀνούφριε, ἐν ἐρημίᾳ με νῦν, τῶν παθῶν αὐλιζόμενον, εἰς ὁδὸν εὐθεῖάν με ἀρετῶν χειραγώγησον, πρὸς μετανοίας, τρίβον πρεσβείαις σου, πρὸς θελημάτων, Θεοῦ ἐκπλήρωσιν, πρὸς ἀδαπάνητον, τῶν καλῶν ἀπόλαυσιν ὅπως τὸ σόν, χαίρων παναοίδιμε, τελῶ μνημόσυνον.

Πάτερ θεόφρον Ὀνούφριε, τὸν παγετὸν τῆς νυκτός, καὶ ἡμέρας τὸν καύσωνα, τῇ ἐλπίδι ὅσιε, τῶν μελλόντων ὑπέμεινας, τὰ ἐπὶ γῆς σου μέλη νεκρώσας γάρ, τῆς οὐρανίου ζωῆς ἐπέτυχες, ἔνδον γενόμενος, τῆς παστάδος ἅγιε περιχαρῶς, κάλλος τὸ ἀμήχανον, ὁρῶν τοῦ Κτίστου σου.

Πάτερ θεόφρον Ὀνούφριε, τῆς κοσμικῆς σεαυτόν, ἀποστήσας συγχύσεως, πρὸς τὴν ὑπερκόσμιον, ἀνηνέχθης ἀκρότητα, αὐτὴν ποθήσας τῶν ἀγαθῶν τὴν πηγήν, αὐτὸ τὸ ὄντως ἐφετὸν ἔφθασας· οὗ ταῖς ἐλλάμψεσι, μάκαρ πυρσευόμενος ἁμαρτιῶν, ζόφου ταῖς πρεσβείαις σου, ἡμᾶς ἐξάρπασον.

Πάτερ παμμάκαρ Ὀνούφριε, τὰς ὑπὲρ νοῦν δωρεάς, οὐρανόθεν δεξάμενος, εὐσεβῶς μετέδωκας, τοῖς ποθοῦσι τρισόλβιε, τῆς σῆς ἀσκήσεως τὰ γνωρίσματα, εὐλογημένης φωνῆς ἀκήκοας, ἔνδον γενόμενος, τοῦ νυμφῶνος ἔνθα νῦν περιπολεῖς, θρόνῳ τοῦ Παντάνακτος, ἀξιοθαύμαστε.

Ἕτερα. Ἦχος β΄.
Ποίοις εὐφημιῶν στέμμασιν.

Ποίοις εὐφημιῶν στέμμασιν, ἀναδήσωμεν τὸν θεῖον Πέτρον; τὸν τοῦ Κορυφαίου συνώνυμον, καὶ τῶν Ἀσωμάτων τὸν σύμφυτον, τὸν τῆς Θεοτόκου θεῖον μύστην· τοῦ Ἄθω, τὸν πρωτοστάτην καὶ ἀκρέμονα, τὴν πέτραν, τῆς καρτερίας τὴν στερέμνιον, τὸν τοῦ δολίου βελίαρ, τὰς μηχανουργίας, θριαμβεύσαντα ἐμφανῶς, καὶ νίκης τὸν στέφανον, οὐρανόθεν κομισάμενον.

Ποίοις ᾄσματικοῖς μέλεσιν, ἀνυμνήσωμεν τὸν θεῖον Πέτρον; τὸ τοῦ Ἡλιοῦ ἀφομοίωμα, καὶ τοῦ Βαπτιστοῦ τὸ ἐκτύπωμα, τὸν στερρὸν πολίτην τῆς ἐρήμου· τὸ δένδρον, τῆς ἀπαθείας τὸ γλυκύκαρπον· τὸν πλοῦτον, τοῦ Παρακλήτου τὸν πολύτιμον, τὴν Θεοτύπωτον στήλην, τῶν λαμπρῶν ἀγώνων, δι' οὗ πρὸς κρείττονα ἀρετήν, ἀεὶ ῥυθμιζόμεθα, μοναζόντων τὰ συστήματα.

Πέτρα τῆς ἀῤῥαγοῦς πίστεως, ἀκλινῶς ἐρηρεισμένος Πέτρε, ἔστης ἀκατάβλητος ὅσιε, ἐν ταῖς τοῦ ἐχθροῦ ἐπιθέσεσι, καὶ ταῖς φαντασίαις ταῖς ποικίλαις, καὶ τούτου, ἀπογυμνώσας τὴν κακόνοιαν, διῆλθες, ἐν ἡσυχίᾳ καὶ γυμνότητι, τὴν σὴν ζωὴν ὑπὲρ φύσιν· ὅθεν εὐφροσύνης, τὸν χιτῶνα προφητικῶς, ἡμφίεσαι χάριτι, μεταστὰς πρὸς φῶς ἀνέσπερον.

Πόθῳ οἱ εὐτελεῖς δοῦλοί σου, μακαρίζομέν σε πάτερ Πέτρε· σὺ γὰρ πολιτείαν ἀσώματον, ἤνυσας σαφῶς μετὰ σώματος, ἐν τῇ ὑπωρείᾳ τῇ τοῦ Ἄθω, καὶ βίᾳ, στερρῶς παλαίων τῇ τῆς φύσεως, τοὺς δόλους, καὶ τὰς βουλὰς τοῦ κοσμοκράτορος, τῇ σῇ ἠκύρωσας πίστει· ἔνθεν σε ἡ χάρις, περιέθαλψε τοῦ Θεοῦ, καὶ ἄρτον οὐράνιον, θαυμαστῶς ἐδέχου ὅσιε.

Δόξα. Ἦχος πλ. β΄.

Σήμερον ἐνθέως ἐξέλαμψεν, ἡ τῆς ὁσίας ξυνωρίδος μνήμη, Ὀνουφρίου τοῦ τρισμάκαρος, καὶ Πέτρου τοῦ ἐν Ἄθῳ τοὺς εὐσεβεῖς εὐφραίνουσα. Ταύτην οὖν χρεωστικῶς ἑορτάσωμεν, τοῖς ὁσίοις πατράσι βοῶντες. Χαίροις ὁ ἀπὸ βρέφους ἀνατεθεὶς τῷ Θεῷ, καὶ μέχρι τέλους αὐτῷ εὐαρεστήσας, ἐρημικοῖς καμάτοις σου, θεόφρον Ὀνούφριε. Χαίροις ὁ τῇ θεϊκῇ προνοίᾳ τῆς αἰχμαλωσίας ῥυσθείς, καὶ τῇ τῆς Θεοτόκου ὁδηγίᾳ, ἐν ἀβάτῳ ἐρήμῳ τοῦ Ἄθω οἰκήσας, καὶ Ἀγγελικῶς διωσόμενος Πέτρε. Χαίρετε οἱ τὴν βροτείαν λαθόντες φύσιν, καὶ ἄγγελοι ἐν ὕλῃ φανέντες. Διὸ πατέρες πανόσιοι, τὴν ζωαρχικὴν Τριάδα δυσωπεῖτε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον. Ὁ αὐτός.

Τίς μὴ μακαρίσει σε Παναγία Παρθένε; Τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον Τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς Μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς ἁγνῆς προῆλθεν, ἀῤῥάστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς· οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος. Φῶς ἱλαρόν· τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ ἀναγνώσματα.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

Κεφ. Γ΄. 1 Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δὲ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐ-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

πείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν Ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ. Ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

Κεφ. Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι. Ε΄ 16 καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην, καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἀλοῦνται· καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις βιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλεισουσιν ἀποτόμως· ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς· καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

Κεφ. Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, Δ΄. 7 ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ, διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

Ἰδιόμελα. Ἦχος α΄.

Φωστῆρες δύο ὑπέρλαμπροι, τῇ οἰκουμένῃ ἀνέτειλαν, Ὀνούφριος καὶ Πέτρος, τὴν Ἐκκλησίαν φαιδρύνοντες· ὁ μὲν γὰρ ἐξ Αἰγύπτου, ὡς ἑωσφόρος φαεινός, τῆς καθαροτάτης ἀσκήσεως, σελαγίζει τὰ γνωρίσματα· ὁ δὲ ἐκ τοῦ Ἄθω τοῦ ὑψιτενοῦς, ὡς οὐρανομήκης στύλος τηλαυγής, τῆς πρὸς Θεὸν οἰκειώσεως, διαυγάζει τὰς ἐλλάμψεις. Βαδίσωμεν οὖν ἅπαντες, κατέναντι τῆς λάμψεως αὐτῶν, ἵνα τὸ σκότος τῶν παθῶν ἀποφύγωμεν, καὶ ὡς ἐν ἡμέρᾳ εὐσχημόνως πολιτευσώμεθα, ὁμοφρόνως βοῶντες· Κύριε δόξα σοι.

Ὁ αὐτὸς

Πάλαι μὲν ἡ Αἴγυπτος, ἀπιστίας ζόφῳ ἐκαλύπτετο, νῦν δὲ τῆς δόξης Κυρίου πλήρης ὁρᾶται. Ἐν ταύτῃ γὰρ Ὀνούφριε, ἐν ὁσιότητος ἀκρότητι, τῷ τὰ χειροποίητα ταύτης καθελόντι, ἐλάτρευσας ἀοίδιμε· ἐν γὰρ ἀβάτῳ αὐλισθεὶς ἐρήμῳ, μόνος μόνῳ τῷ Θεῷ προσωμίλησας, ἀνενδότοις καθάρσεσι. Τίς οὖν κατ᾽ ἀξίαν τὸν ἐξηλλαγμένον βίον σου αἰνέσεται; τὸ τῆς νηστείας σύντονον; τῆς προσευχῆς τὴν ἀνάβασιν, τὴν ἄκραν τῆς ἐρήμου μόνωσιν, καὶ τὴν ἐν γυμνότητι ἀνδρείαν; Πάντα θαυμαστὰ τὰ σὰ καὶ ἐξαίρετα. Ἀλλ᾽ ὦ πατέρων ἀκροθίνιον, ἀπαύστως ἱκέτευε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ὁ αὐτὸς

Ἄθως ὁ περίβλεπτος, ὁ εὐαγὴς τῆς Θεοτόκου κλῆρος, καυχᾶται τοῖς ἀγῶσί σου, Πέτρε παμμακάριστε· ἐν τούτῳ γὰρ τῷ Ὄρει ἐπιβάς, πρὸς ὄρη αἰώνια, τὴν διάνοιάν σου ὕψωσας· καὶ τῶν ἀρετῶν τὴν ἄσκησιν, ἀνενδότως διαμείβων, πέτρα ἀκατάσειστος, ὑπομονῆς ἐδείχθης· τῶν γὰρ μανιωδῶν τοῦ σκότους φασμάτων, καὶ τῶν ποικίλων τῆς φύσεως ἀναγκῶν, στερρότατῳ φρονήματι, περιεγένου Πάτερ. Ὅθεν τῆς καρτερίας σου τὴν φρόνησιν, Ἄγγελοι ἐθαύμασαν, δαίμονες τεθήπασι, καὶ ἡ Ἐκκλησία ἠγάσθη, καὶ τῷ σὲ δυναμώσαντι, ἐν ἀγαλλιάσει κράζει, Κύριε δόξα σοι.

Δόξα. Ἦχος πλ. α΄.

Δεῦτε τῶν πιστῶν αἱ πατριαί, δεῦτε καὶ ἐνωτίσασθαι, οἵους ἀγῶνας διήνυσαν, Ὀνούφριος καὶ Πέτρος, οἱ γενναῖοι ἀδάμαντες· τὴν γὰρ φύσιν λαθόντες, τοῦ τῶν Ἀγγέλων ἐν οὐρανοῖς πολιτεύματος, οὐδαμῶς ἀπελείφθησαν. Ὦ τοῦ θαύματος! πῶς οὐδόλως ἐκάμφθησαν τῇ ἄκρᾳ σκληραγωγίᾳ; πῶς δὲ καὶ ἐντέχνως διεκρούσαντο, τὸν πονηρὸν κοσμοκράτορα; ὅπου γὰρ ἔρως θεϊκός, πάντα ὑπὲρ φύσιν ἐνεργεῖται. Ἀλλ᾽ Υἱὲ Θεοῦ Μονογενές, ὁ τοὺς ὁσίους μεγαλύνας, παράσχου δι᾽ αὐτῶν τῷ κόσμῳ σου, εἰρήνην καὶ μέγα ἔλεος.

Καὶ νῦν Θεοτοκίον

Μακαρίζομέν σε, Θεοτόκε παρθένε, καὶ δοξάζομέν σε, οἱ πιστοὶ κατὰ χρέος, τὴν Πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄῤῥηκτον, τὴν ἀῤῥαγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ

Στιχηρὰ προσόμοια
Ἦχος πλ. α΄.
Χαίροις ἀσκητικῶν ἀληθῶς.

Χαίροις ὁ ὑπερκόσμιος νοῦς, ὁ τῶν Ἀγγέλων μιμητὴς καὶ ἰσότιμος, βροτὸς γὰρ ὑπάρχων πάτερ, τὴν ὑπὲρ φύσιν ζωήν, οὐρανίῳ πόθῳ πεπολίτευσαι, εἰς ἔρημον ἄβατον, προσχωρήσας Ὀνούφριε, καὶ πᾶν γεῶδες, τιναξάμενος φρόνημα, καὶ ἰσάγγελος γεγονὼς μετὰ σώματος· ὅθεν θάμβους πεπλήρωται, ἐν σοὶ ὁ Παφνούτιος, καὶ κήρυξ ὤφθη τῷ κόσμῳ, τῆς ὑπὲρ νοῦν πολιτείας σου, δι᾽ ἧς ἐδοξάσθη, ὁ δοξάσας σε πλουσίως, τῆς δόξης Κύριος.

Στίχ. Τίμιος ἐνώπιον Κυρίου, ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Χαίροις Ὄρους τοῦ Ἄθω ἀστήρ, καὶ οἰκιστὴς θεοειδὴς ὀρεσίτροφος· τὸ ξῆφος τὸ διακόψαν, τὰς τῶν δαιμόνων ὁρμάς· τὸ τῆς ἡσυχίας, ὅρμα ἄγρυπνον· ὁ φίλος ὁ γνήσιος, τῆς ἁγνῆς θεομήτορος, ταύτης γὰρ πάτερ, τῇ προνοίᾳ θαλπόμενος, διεσκέδασας, τοῦ ἐχθροῦ τὰ βουλεύματα, Πέτρε μακαριώτατε, ἡ πέτρα ἡ ἄθραυστος, τῆς ἀῤῥαγοῦς καρτερίας, ἡσυχαστῶν στάθ-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

μη ἔμψυχε, Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχ. Καυχήσονται ὅσιοι ἐν δόξῃ, καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.

Χαίροις ἡ τῶν ὁσίων δυάς, οἱ ὀρεινόμοι, οὐρανόφρονες ἄνθρωποι, οἱ λύχνοι οἱ δαδουχοῦντες, τῆς ἀπαθείας τὸ φῶς, καὶ τοῦ Παρακλήτου, τὰ χαρίσματα, Ὀνούφριε ἔνδοξε, τῆς Αἰγύπτου ἀγλάϊσμα, καὶ πάτερ Πέτρε, τὸ τοῦ Ἄθω σελάγισμα, καὶ περίβλεπτον, ἀρετῶν στηλογράφημα, δένδρα τὰ ἀγλαόκαρπα, καρπῶντῆς ἀσκήσεως, τῆς ἀκτησίας ὁ πλοῦτος, θείας ἀγάπης οἱ ἄνθρακες, Χριστὸν δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος πλ. δ΄.

Τὴν ἰσάγγελον ζωήν, ἐπ᾽ ἐρήμους διανύοντες, ἀγγελικῆς διακονίας, κατ᾽ ἀξίαν ἠξιώθητε, ἔξω κόσμου καὶ σαρκὸς γὰρ γεγονότες, ἐπουρανίῳ εἰκότως ἄρτῳ, δι᾽ Ἀγγέλων ἁγίων ἐτράφητε. Τί οὖν ὑμᾶς καλέσωμεν; Ἀγγέλους ἐν σώματι; ξένους καὶ παροίκους τῶν γηΐνων ἢ τῆς δόξης Κυρίου θεωρούς; Καὶ νῦν ἀνακεκαλυμμένως, τὸ θεῖον κάλλος καρπούμενοι, Ὀνούφριε καὶ Πέτρε, πρεσβεύσατε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί, Μήτηρ Θεοῦ τοῦ Ὑψίστου, σῶν οἰκετῶν παραλήψεις δέχου Πανάμωμε, ἡ πᾶσι χορηγοῦσα, καθαρισμὸν τῶν πταισμάτων, νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς. Τὸ νῦν ἀπολύεις. Τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον μετὰ τοῦ Θεοτοκίου.

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Τῶν Ἀγγέλων τὸν βίον ἐν σαρκὶ μιμησάμενοι, ὤφθητε ἐρήμου πολῖται, καὶ χαρίτων κειμήλια, Ὀνούφριε Αἰγύπτου καλλονή, καὶ Πέτρε τῶν ἐν Ἄθῳ ὁ φωστήρ· διὰ τοῦτο τοὺς ἀγῶνας, ὑμῶν ἀεὶ τιμῶμεν ἀναμέλποντες. Δόξα τῷ ἐνισχύσαντι ὑμᾶς, δόξα τῷ θαυμαστώσαντι, δόξα τῷ ἐνεργοῦντι δι᾽ ὑμῶν πᾶσιν ἰάματα.

Θεοτοκίον

Τοῦ Γαβριὴλ φθεγξαμένου σοι Παρθένε τὰ χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο, ὁ τῶν ὅλων Δεσπότης, ἐν σοὶ τῇ ἁγίᾳ Κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαβίδ, ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τὸν Κτίστην σου. Δόξα τῷ ἐνοικήσαντι ἐν σοί, δόξα τῷ προελθόντι ἐκ σοῦ, δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς διὰ τοῦ τόκου σου.

Ἢ τὸ Θεοτόκε Παρθένε, ἐὰν τελῆται ἀγρυπνία, ὅτε γίνεται ἡ εὐλόγησις τῶν ἄρτων καὶ ἡ ἀνάγνωσις ἐκ τοῦ βίου τῶν Ἁγίων.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὸν Ἐξάψαλμον καὶ τὸ Θεὸς Κύριος, ψάλλομεν τὰ ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινόν.

Μετὰ δὲ τὴν α΄. Στιχολογίαν ψάλλομεν τὰ ἑπόμενα Καθίσματα.

Ἦχος α΄. Τὸν Τάφον Σου Σωτήρ.

Ἐκ βρέφους τῷ Χριστῷ, ἠκολούθησας πάτερ, καὶ κόσμου τὰ τερπνά, ἐβδελύξω ἐμφρόνως· ἐντεῦθεν συνηριθμήσαι, μοναστῶν ἐμηγύρεσι, καὶ διέλαμψας. πάσῃ σπουδῇ ἐναρέτῳ, γυμναζόμενος, πρὸς τοὺς τελείους ἀγῶνας, Ὀνούφριε ὅσιε.

Δόξα. Ὅμοιον

Τὸν Πρόδρομον Χριστοῦ, καὶ Ἠλίαν τὸν μέγαν, μιμούμενος σοφέ, ἐν ἐρήμῳ ἀβάτῳ ηὐλίσθης ἀγαλλόμενος, μηδεμίαν ποιούμενος, σαρκὸς πρόνοιαν, ἀλλ᾽ ἐντρυφῶν καθ᾽ ἑκάστην, θείαις πράξεσιν, ὥφθης θεράπων Κυρίου, Ὀνούφριε μέγιστε.

Καὶ νῦν. Θεοτοκίον ὅμοιον

Καθάρισον Ἁγνή, τὴν ῥυπῶσαν ψυχήν μου, καὶ φώτισον φωτί, τῆς σῆς δόξης τὸν νοῦν μου, τοῦ σώματος δὲ νέκρωσον, τὰς ὀρέξεις Πανάμωμε, καὶ ἀνάδειξον, δοῦλον πιστόν με ἐν πᾶσι, τοῦ ἐκλάμψαντος, ἐκ τῆς ἀχράντου γαστρός σου, Χριστοῦ τοῦ Θεοῦ ἡμῶν.

Μετὰ τὴν β΄. στιχολογίαν. Καθίσματα.

Ἦχος δ΄.

Ὁ Ὑψωθεὶς ἐν τῷ Σταυρῷ

Ἀϊχμαλωσίας χαλεπῆς ὡς ἐρρύσθης, τῇ μεσιτείᾳ Νικολάου τοῦ θείου, τὰς σὰς εὐχὰς πληρῶσαι πάτερ ἔσπευσας, ἃς ἐν θλίψει πρότερον, καθυπέσχου Κυρίῳ· χαίρων γὰρ ὑπέκλινας, τῷ ζυγῷ τοῦ Σωτῆρος, καὶ τὴν στενὴν ἐβάδισας ὁδόν, Πέτρε τρισμάκαρ σκηνώσας ἐν Ἄθωνι.

Δόξα. Ἦχος πλ. α΄.

Τὸν συνάναρχον Λόγον.

Ἐν τῷ Ὄρει τοῦ Ἄθω πάτερ προσέδραμες, ὁδηγηθεὶς τῇ προνοίᾳ τῆς Θεοτόκου ἁγνῆς, καὶ κατέπληξας βροτοὺς τῇ πολιτείᾳ σου, ἐν γυμνότητι καὶ γὰρ διελήλυθας τὸ ζῆν, καὶ ἴσχυνας τὸν βελίαρ, τῇ καρτερᾷ σου ἐνστάσει, Πέτρε ὁσίων ἐγκαλλώπισμα.

Καὶ νῦν. Θεοτοκίον ὅμοιον

Ἐπιστᾶσα κατ᾽ ὄναρ Θεοχαρίτωτε, τῷ σῷ θεράποντι Πέτρῳ σὺν Νικολάῳ ὁμοῦ, καθωδήγησας αὐτὸν ἐπὶ τὸν κλῆρόν σου, ἔνθα τῇ σῇ ἐπισκοπῇ, θριαμβεύσας τὸν ἐχθρόν, δεδόξασται ἀριδήλως, οὗ ταῖς εὐχαῖς Θεοτόκε, φρούρει ἡμᾶς τοὺς πεποιθότας σοι.

Μετὰ τὸν πολυέλεον. Καθίσματα

Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Τῆς ἐρήμου πολῖται καὶ οἰκισταί, ξυνωρὶς τῶν ὁσίων ἡ θαυμαστή, Ὀνούφριε ἔνδοξε. σὺν τῷ Πέτρῳ ἐδείχθητε, ὁ μὲν ἐν τῇ Αἰγύπτῳ βιώσας ὡς ἄσαρκος, ὁ δὲ ἐν Ὄρει Ἄθῳ, αἰσχύνας τὸν δράκοντα· ὅθεν οὐρανίων, ἀγαθῶν κληρονόμοι, καὶ σύμφυτοι ὤφθητε ἀληθῶς καὶ ἰσότιμοι, τῶν Ἀγγέλων μακάριοι. Πρεσβεύσατε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, ὑμῶν τὰ μνημόσυνα.

Δόξα καὶ νῦν. Θεοτοκίον ὅμοιον

Πολυύμνυμε Κόρη ὑπερκαλλής, Θεοβάδιστε τόπε πύλη ζωῆς, νεφέλη ὁλόφωτε, τοὺς πιστοὺς ἀναψύχουσα, ἡ ζωηφόρος βρύσις, τῆς θείας χρηστότητος, ἡ βλύζουσα τῷ κόσμῳ, ἐλέους τὰ ῥεύματα, πλῦνον τὴν ψυχήν μου, ἐκ παθῶν ἀκαθάρτων, καὶ κάθαρον Ἄχραντε, λογισμῶν τὴν καρδίαν μου, θείου φόβου καθάρσεσιν, ὡς ἂν ἐν μετανοίᾳ θερμῇ, δανύσω βίου τὸ ὑπόλοιπον, καὶ ὀφθῶ κληρονόμος, τῆς ἄνω λαμπρότητος.

Οἱ Ἀναβαθμοί, τὸ α΄. ἀντίφωνον τοῦ δ΄. ἦχου.

Προκείμενον

Καυχήσονται ὅσιοι ἐν δόξῃ καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.

Στίχ. Ἰδοὺ ἐμάκρυνα φυγαδεύων καὶ ηὐλίσθην ἐν τῇ ἐρήμῳ.

Εὐαγγέλιον εἰς ὁσίους.

Ὁ Ν΄. Ψαλμός. Δόξα, ταῖς τῶν σῶν ὁσίων. Καὶ νῦν ταῖς τῆς Θεοτόκου.

Στίχ. Ἐλέησόν με ὁ Θεὸς καὶ τὸ ἰδιόμελον.

Ἦχος πλ. β΄.

Σήμερον τῶν μοναζόντων οἱ χοροί, ἐν ἔργοις θεαρέστοις λευχειμονοῦντες, τοῖς θεοφόροις πατράσι δράμωμεν, Ὀνουφρίῳ καὶ Πέτρῳ· ἰδοὺ γὰρ ἐπέστησαν ἡμῖν, ὡς ἀστέρες πολύφωτοι, τῆς θεοφιλοῦς ἀσκήσεως, ἀστράπτοντες τὰς χάριτας, καὶ τῆς ῥαθυμίας τὸν ζόφον, ὁλοτελῶς ἐκμει-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

οῦντες. Αὐτοῖς οὐ βοήσωμεν. Πατέ- [illegible] ἰσάγγελοι, πρὸς τὸ νοητὸν φῶς Χριστοῦ τῶν προσταγμάτων, ἀσφαλῶς κυβερνήσατε, τοὺς ὁμοφρόνως ὑμᾶς μακρίζοντας.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου κ.λ.π.

ΟΙ ΚΑΝΟΝΕΣ

Ὁ τῆς Θεοτόκου μετὰ τῶν εἱρμῶν εἰς στ΄. καὶ τῶν ἁγίων οἱ δύο εἰς η΄.

Ὁ Κανὼν τῆς Θεοτόκου

Ἦχος β΄. Ὁ Εἱρμός.

»Ἐν βυθῷ κατέστρωσέ ποτε, τὴν »Φαραωνίτιδα πανστρατιάν, ἡ ὑ»πέρπλους δύναμις, σαρκωθεὶς ὁ Λόγος »δέ, τὴν παμμόχθηρον ἁμαρτίαν ἐξή»λειψεν, ὁ δεδοξασμένος Κύριος, ἐνδό»ξως γὰρ δεδόξασται. (ὶς)

Ὡς ὡραίαν ὡς περικαλλῆ, ὅλην ὡς ἀμώμητον, ἐν γυναιξὶ Θεὸς σε ἐκλεξάμενος, σοῦ τὴν μήτραν ᾤκησε τὴν ἀμώμητον, ὃν δυσώπει Πανάμωμε, μώμου ἐγκλημάτων, ἅπαντας ῥυσθῆναι τοὺς ὑμνοῦντάς σε.

Ψυκλιμικῶς Ἁγνὴ ἐκ δεξιῶν, οἵαπερ Βασίλισσα, τοῦ ἐκ τῆς σῆς νηδύος ἀναλάμψαντος, Βασιλέως ἔστηκας, ὃν ἱκέτευε δεξιὸν παραστάτην με, δεῖξαι ἐν ἡμέρᾳ, τῆς ἀνταποδώσεως Πανάμωμε.

Χερσωθεῖσαν φύσιν τῶν βροτῶν, πᾶσιν ἀτοπήμασι, τὸν ὑετὸν τεκοῦσα τὸν οὐράνιον, ὅλην ἀνεκαίνισας, ἀλλὰ δέομαι τῆς ψυχῆς μου τὴν αὔλακα, ἀποχερσωθεῖσαν, δεῖξον καρποφόρον Θεονύμφευτε.

Χαρμονῆς παραίτιος ἡμῖν, ὤφθης χαροπάροχε, τὸν τὴν χαρὰν τοῖς ἀνθρώποις πηγάσαντα, ἀνωδίνως τέξασα, διὸ ῥῦσαί με ἀθυμίας καὶ θλίψεως, καὶ τὸν τεθλιμμένον, νοῦν μου χαροποίησον Πανάμωμε.

ΕΤΕΡΟΣ τοῦ ὁσίου Ὀνουφρίου.

Ἦχος ὁ αὐτός. Δεῦτε λαοί.

Ὅλον Χριστόν, εἰσοικισάμενος ἔνδοξε, καὶ κόσμου ἐρωσάμενος, δόξαν τὴν ἄστατον, τῆς αὐτοῦ ἀπολαύσεις, Ὀνούφριε ἀξίως χαρᾶς ἀοίδιμε.

Νόμῳ Χριστοῦ, ἐμμελετήσας θεσπέσιε, δένδρον ζωῆς κατάκαρπον, ἀρεταῖς δέδειξαι, προβαλλόμενος χάριν, τῶν θείων ἰαμάτων τοῖς κατορθώμασιν.

Νοῦν καθαρόν, ἀπὸ παιδὸς προσκτησάμενος, τοῦ Βαπτιστοῦ Ὀνούφριε τὴν ὑπεράνθρωπον, βιοτὴν ἐμιμήσω, διὸ καὶ πρὸς ἐρήμους χαίρων ἐχώρησας.

Θεοτοκίον

Οἶκος Ἁγνή, ὁ τῆς Σοφίας ἐγνώρισαι, ἐκ τῶν αἱμάτων σάρκα γάρ, τῶν σῶν ἁγνῶν λαβών, καὶ Σταυρῷ ὁμιλήσας, Θεὸς τῆς ἀπαθείας, ἡμῖν μετέδωκεν.

ΑΛΛΟΣ. Τοῦ ὁσίου Πέτρου

Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας

Πλουσίαις ἐκλάμπων μαρμαρυγαῖς, ὡς φωτὸς ἀδύτου, κληρονόμος θεοειδής, καταύγασον Πέτρε τὴν ψυχήν μου, ἀνευφημοῦντος τὰ σὰ κατορθώματα.

Ἐν βίῳ ὑπάρχων περιφανής, κτήσει τῆς σοφίας, καὶ τῇ γνώσει τῇ εὐαγεῖ, Χριστοῦ δὲ τοῖς ἴχνεσι βαδίσας, περιφανέστατος Πέτρε γεγένησαι.

Τῆς σῆς ἐπακούσας πάτερ φωνῆς, διὰ Νικολάου τοῦ τρισμάκαρος ὁ Θεός, καὶ τοῦ Συμεὼν τοῦ Θεοδόχου, αἰχμαλωσίας δεινῆς σε ἐρρύσατο.

Θεοτοκίον

Ῥημάτων σου θείων ἐκπληρωτής, ὁ ὅσιος Πέτρος, ἀνεδείχθη Μῆτερ

ἄγνή, ἐν Ὄρει τοῦ Ἄθω γὰρ σκηνώσας, τῇ ἀρωγῇ σου ἐχθρὸν ἐτροπώσατο.

Καταβασία. Ἀνοίξω τὸ στόμα μου. (Ἐὰν ἐγένετο ἀπόδοσις τῆς Πεντηκοστῆς.)

Ὠδὴ γ΄. Ὁ Εἱρμός

»Ἐξήνθησεν ἡ ἔρημος, ὡσεὶ κρῖνον »Κύριε, ἡ τῶν ἐθνῶν στειρεύουσα, »Ἐκκλησία τῇ παρουσίᾳ σου, ἐν ᾗ »ἐστερεώθη ἡ καρδία μου. (δὶς).

Φορέσας με τὸν ἄνθρωπον, ἐκ γαστρός σου πρόεισιν, ὁ Ποιητὴς Πανάχραντε, ἀφθαρσίας στολὴν δωρούμενος, τοῖς πολλοῖς γυμνωθεῖσαν ἀτοπήμασιν.

Ὑπέρτιμον ἐκύησας, Θεὸν Λόγον Ἄχραντε, ὃν ἐκτενῶς ἱκέτευε, οἰκτειρῆσαι τὴν ταπεινήν μου ψυχήν, ἡδονῶν ἀτιμίᾳ σκυθρωπάζουσαν.

Τὰ τραύματα θεράπευσον, τῆς ψυχῆς μου Πάναγνε, τὴν ταπεινὴν καρδίαν μου, φαρμαχθεῖσαν ἰῷ τοῦ ὄφεως, δραστικῷ σου φαρμάκῳ περιποίησαι.

Τῆς Εὔας ἐπανόρθωσις, ὤφθης Παναμώμητε, τὸν Λυτρωτὴν κυήσασα, τὸν ἐκ λάκκου ἡμᾶς συμπτώσεων, ἀνορθοῦντα δι' ἄκραν ἀγαθότητα.

ΕΤΕΡΟΣ τοῦ ὁσίου Ὀνουφρίου.

Στερέωσον ἡμᾶς ἐν σοὶ Κύριε.

Ὑπῆλθες τὸν ζυγὸν Χριστοῦ Ὀνούφριε, ἐρήμοις ἀβάτοις σὺ καταμόνας, ὁμιλεῖν ἐπιποθῶν αὐτῷ, καὶ τοῦ κάλλους τρυφᾶν δόξης, τῆς θείας αὐτοῦ.

Φωτίσας σεαυτὸν φωτὶ τῆς γνώσεως, καὶ γνόφον σκεδάσας τῶν παθημάτων, ἐν πλαξὶ ταῖς τῆς καρδίας σου, ἀπαθείας τὸν νόμον πάτερ εἴληφας.

Φρονήματι σοφῷ καλλωπιζόμενος, σαρκός σου τὴν πρόνοιαν ἀπηρνήσω, καὶ Ἀγγέλων ἰσοστάσιος, ἀνεδείχθης Ὀνούφριε ἐν σώματι.

Θεοτοκίον

Ῥανίδι συμπαθῶς τῇ τῆς πρεσβείας σου, τὴν φλόγα κατάσβεσον τῆς ψυχῆς μου, Θεοτόκε ἀειπάρθενε, συμπαθείας πηγήν μοι ἐπαρδεύουσα.

ΑΛΛΟΣ. Τοῦ ὁσίου Πέτρου.

Σὺ εἶ τὸ στερέωμα.

Ὅλος σοι φαινόμενος, πλήρης στοργῆς ὁ Νικόλαος, τὴν ποθητήν, τρίβον σοι δεικνύει, ἀσφαλῶς περιέπων σε.

Νοῦν τὸν σὸν κατεύθυνας, πρὸς τὸ σωτήριον θέλημα, εὐοδωθείς, Πέτρε πρὸς τὴν Ῥώμην, θείᾳ ῥώμῃ ῥωννύμενος.

Γνοὺς τὴν σὴν προσέλευσιν, Ἀρχιερεὺς ὁ θεόληπτος, τῶν μοναστῶν, Πέτρε καταλέγει, τῷ ὁσίῳ σε τάγματι.

Θεοτοκίον

Ἔχων σε βοήθειαν, Πέτρος ὁ δοῦλός σου ἄχραντε, τὰς τοῦ ἐχθροῦ, δεινὰς πανουργίας, στερρόφρονως διέλυε.

Καταβασία: Τοὺς σοὺς ὑμνολόγους.

Καθίσματα

Ἦχος δ΄. Ταχὺ προκατάλαβε

Ἐμάκρυνας ὅσιε καὶ ἐν ἐρήμοις σαφῶς, ηὐλίσθης τὸν Κύριον, ῥυόμενόν σε δεινῶν, ἀεὶ ἐκδεχόμενος· ὅθεν εὐαρεστήσας, τῷ Δεσπότῃ παμμάκαρ, εἴληφας τὴν ἀγήρω, οὐρανῶν βασιλείαν, ἐν ᾗ χοροβατῶν Ὀνούφριε, ἡμῶν μνημόνευε.

Δόξα, ὅμοιον

Γυμνὸς προσεχώρησας πρὸς τοὺς ἀγῶνας σοφέ, καὶ πάσας ἐγύμνωσας, τὰς μηχανὰς τοῦ ἐχθροῦ, ἀτρέπτῳ ἐνστάσει σου· σὺ γὰρ ἐν ὑπωρείᾳ, τῇ τοῦ Ἄθω ἀσκήσας, πάσας τὰς κακουχίας, τῶν δαιμόνων καθεῖλες· διό σε

Athos Library
Αγιορειτική Βιβλιοθήκη

παμμάκαρ Πέτρε, Χριστὸς ἐθαυμάστωσε.

Καὶ νῦν. Θεοτοκίον ὅμοιον

Ταχεῖάν σε σύμμαχον καὶ ἀρωγὸν εὐμενῆ, ὁ Πέτρος ὁ ὅσιος ἐφεύρηκὼς ἀληθῶς, Παρθένε πανάμωμε, ἔβαλε τὸν βελίαρ, τῇ ἁγίᾳ σου κλήσει, ἥνυσε δὲ ὁσίως, ἀρετῶν τὴν πορείαν, καὶ νῦν τῆς σῆς εὐκλείας, ὁρᾷ τὴν ἔλλαμψιν.

Ὠδὴ δ΄ Ὁ εἱρμὸς

»Ἐλήλυθας ἐκ Παρθένου, οὐ πρέ»σβυς οὐκ Ἄγγελος, ἀλλ᾽ αὐτὸς »ὁ Κύριος, σεσαρκωμένος καὶ ἔσωσας, »ὅλον με τὸν ἄνθρωπον· διὸ κραυγάζω »σοι. Δόξα τῇ δυνάμει σου Κύριε. (δὶς)

Σταγόνα μοι κατανύξεως, ὄμβρισον Δέσποινα, ἐξαίρουσαν ἅπαντα, τὸν τῆς καρδίας μου καύσωνα, καὶ τῆς διανοίας μου, τὰς σφαλερὰς ἐνθυμήσεις ἀναστέλλουσαν.

Ῥομφαίᾳ ἡδονῆς με, πληγέντα καὶ κείμενον, τραυματίαν Ἄχραντε, μὴ ὑπερίδῃς ἀλλ᾽ ἴασαι, λόγχῃ καὶ τῷ αἵματι, τοῦ σταυρωθέντος Υἱοῦ σου καὶ Θεοῦ ἡμῶν.

Πλουτήσασα δεσποτείαν, ἁπάσης τῆς κτίσεως, δεινῶς με πτωχεύοντα, χάριτος θείας οἰκτείρησον, ὅπως μεγαλύνω σε, ὡς ἀγαθήν μου προστάτιν Παναμώμητε.

Παράδεισος εὐθαλής, καὶ θεόφυτος πέφηνας, τὸν τῆς δόξης Κύριον, ζωῆς ὡς ξύλον βλαστήσασα, τοὺς δεινῶς τῷ δήγματι, τοῦ πλάνου θνήξαντος, Ἄχραντε ζωοῦντα καὶ σώζοντα.

ΕΤΕΡΟΣ. Τοῦ ὁσίου Ὀνουφρίου
Εἰσακήκοα Κύριε.

Ἱδρυμένος ἀκλόνητος, παρὰ Χριστοῦ δαιμόνων τρικυμίας, ὡς ἀφρὸν Ὀνούφριε διαλέλυκας.

Ὡς ἀδάμας τοῖς θάλπεσι, καὶ τοῖς κρυμοῖς στερρῶς ἐγκαρτερήσας, τῶν δαιμόνων ἔλυσας τὰ παλαίσματα.

Ὡς κατεῖδέ σε ὅσιε, ὁ ἱερὸς Παφνούτιος ἐξέστη, τῆς σῆς πολιτείας τὴν χάριν ἀγάμενος.

Θεοτοκίον

Τῆς ψυχῆς μου τὴν κάκωσιν, τοῦ σοῦ Υἱοῦ τῇ λάψει Θεοτόκε, ἀφελοῦσα σύναψον σωτηρίᾳ με.

ΑΛΛΟΣ. Τοῦ ὁσίου Πέτρου
Σύ μου ἰσχὺς Κύριε.

Ῥώμην σοφέ, τὴν εὐαγῆ μεγαλόπολιν, καταλείψας, ὅλος ἔνθους ἔσπευσας, ἀποπληρῶσαι τὰς σὰς εὐχάς, ἅσπερ συνετάξω, ἐν θλίψει τῷ ῥυσαμένῳ σε, ἡσύχως γὰρ ἀνῦσαι, ἡρετίσω τὸν βίον, καὶ ὁσίως λατρεῦσαι Κυρίῳ σου.

Ἀποδημῶν, τῆς κοσμικῆς ματαιότητος, καὶ ἐκπλέων, κόσμου τὸ κλυδώνιον, ἐπερατώθης θείᾳ βουλῇ ἐν Ὄρει τοῦ Ἄθω καὶ ἐν αὐτῷ κατεσκήνωσας· Μητρὸς γὰρ τῆς τοῦ Λόγου, τὰς λαμπρὰς ὑποσχέσεις, ὡς λιμένα ἀχείμαστον εὗρηκας.

Ἰδὼν σεμνῶς, τὴν Θεοτόκον τὴν Ἄχραντον, σὺν τῷ θείῳ, Νικολάῳ ὅσιε καὶ ἐκ χειλέων τῶν ἑαυτῆς, τῶν ἐπαγγελμάτων, ἀκηκοὼς τὰ μηνύματα, χαρᾶς ἐπλήσθης θείας, καὶ τῇ ταύτης προνοίᾳ, σεαυτὸν ὅλον Πέτρε ἐκδέδωκας.

Θεοτοκίον

Ῥήσεις τὰς σάς, καὶ τὰ πιστὰ εὐαγγέλια, οἷα πάλαι, ἐπηγγείλω Δέσποινα, Πέτρῳ τῷ μύστῃ σου τῷ πιστῷ, κεκτημένοι πάντες, οἱ τῷ σῷ Ὄρει μονάζοντες, ἁπάσης δυσχερείας, διὰ τῆς σῆς εὐνοίας, ἐκλυτρούμεθα σὲ μεγαλύνοντες.

Καταβασία. Τὴν ἀνεξιχνίαστον.

Ὠδὴ ε΄. Ὁ εἱρμὸς

»Μεσίτης Θεοῦ, καὶ ἀνθρώπων γέ»γονας Χριστὲ ὁ Θεός, διὰ σοῦ

»γὰρ Δέσποτα, τὴν πρὸς τὸν ἀρχίφω»τον Πατέρα σου, ἐκ νυκτὸς ἀγνωσίας, »προσαγωγὴν ἐσχήκαμεν. (δὶς)

Ὁδὸν τῆς ζωῆς, ἡ τεκοῦσα Ἄχραντε ὁδήγησον, ὁδὸν εἰς εὐθεῖάν με, νῦν εἰς ἀνοδίας τε καὶ βάραθρα, χαλεπῶν συμπτωμάτων, ἀλόγως κρημνιζόμενον.

Ξενώσας φρενί, ἐμαυτὸν ἀγνώμονι Παρθένε Μήτηρ Θεοῦ, ἀσώτως ἐβίωσα, χώραν εἰς μακρὰν περιπλανώμενος, ἀλλ᾽ ἐπίστρεψον σῶσον, ταῖς σαῖς με παρακλήσεσιν.

Ναμάτων τῶν σῶν, ζωηρρήτων πότισον τὸν δοῦλόν σου, φλογμῷ συγκαιόμενον, τῶν ἁμαρτιῶν καὶ κινδυνεύοντα, προσβολαῖς τῶν δαιμόνων, Παρθενομῆτορ Ἄχραντε.

Ναὸς θεαυγής, καὶ λαμπρὸν ἀνάκτορον Χριστοῦ ὑπάρχουσα, σκεῦος θείου Πνεύματος, τὴν ψυχήν μου ἔργασαι Παναύμνητε, νοητῶν γεγουνίαν, λῃστῶν κατοικητήριον.

ΕΤΕΡΟΣ τοῦ ὁσίου Ὀνουφρίου.
Ὁ τοῦ φωτὸς χορηγός.

Ὁλοκαυτώσας τὸν νοῦν, τῷ δι᾽ ἡμᾶς ὑπὲρ ἡμῶν θάνατον, διὰ Σταυροῦ κεκαρτερηκότι, ἀξίως κοινωνός, καὶ συγκληρονόμος τῆς δόξης γεγένησαι.

Ναὸν εἰργάσω σαυτόν, ὁλολαμπῆ ταῖς ἀρεταῖς ὅσιε, διαφανεῖς βολίδας ἐνθέους, ἀστράπτων τηλαυγῶς, θείων θαυμασίων παμμάκαρ Ὀνούφριε.

Νοῒ ἐνθέῳ σοφέ, τὴν τοῦ Χριστοῦ κατανοῶν ἔλλαμψιν, ἐν τῇ ἐρήμῳ ὡς ἐν Παραδείσῳ, κατῴκεις ἐν χαρᾷ, τὰ τῆς ἀφθαρσίας ἐκφέρων βλαστήματα.

Θεοτοκίον

Ἀγαθοδότην Χριστόν, Θεοκυήτρια Ἁγνὴ τέξασα, τὸν πονηραῖς πάθων τρικυμίαις, κλονούμενόν με νῦν, τῇ σῇ εὐσπλαγχνίᾳ Παρθένε θεράπευσον.

ΑΛΛΟΣ. Τοῦ ὁσίου Πέτρου.
Ἵνα τί με ἀπώσω.

Ὡς παλάτιον μέγα, ᾠκησας τὸ σπήλαιον Πέτρε μακάριε, καὶ τὴν σὴν καρδίαν, εὐαγὲς τῆς Τριάδος ἀνάκτορον, ἐναρέτοις πόνοις, καὶ ἀκροτάτῃ σου ἀσκήσει, ἀληθῶς ἀπειργάσω ἀοίδιμε.

Τῶν δαιμόνων τὰ σμήνη, κατιδόντα ὅσιε τὴν πολιτείαν σου, πλείσταις πανουργίαις, κατὰ σοῦ ἐφορμῶντα ἐχρήσαντο, ἀλλὰ τῇ σῇ στάσει, ἥττηται τούτων ἡ μανία· τῇ γὰρ θείᾳ ἠτένιζες χάριτι.

Ὁλοτρόπως λυττήσας, κατὰ σοῦ μακάριε ὁ δολιότροπος, ἐν πληθύϊ ὤφθη, τοξοτῶν μανικῶς πολεμούντων σε, ἀλλ᾽ ἡμφιεσμένος, τὴν τῆς Πανάγνου παντευχίαν, ἐτροπώσω αὐτοῦ τὴν θρασύτητα.

Θεοτοκίον

Νοερῶς τὴν σὴν δόξαν, μόνη ὑπερένδοξε θεοχαρίτωτε, ὁ θεόφρων Πέτρος, θεωρῶν καθαρθεὶς τὴν διάνοιαν, ἤνεγκεν ἀνδρείως, τὰς τῶν δαιμόνων κακουργίας, καὶ τὴν τόλμαν αὐτῶν καταβέβληκεν.

Καταβασία. Ἐξέστη τὰ σύμπαντα.

Ὠδὴ στ΄. Ὁ εἱρμὸς

»Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμε»νος, τὴν ἀνεξιχνίαστον τῆς εὐ»σπλαγχνίας σου, ἐπικαλοῦμαι ἄβυσ«σον, ἐκ φθορᾶς ὁ Θεός με ἀνάγαγε. (δὶς)

Μή με δείξῃς δαιμόνων ἐπίχαρμα, ἐν τῷ κριτηρίῳ τῷ μέλλοντι Δέσποινα, ἀλλ᾽ εὐμενῶς προσβλέψαι μοι, τὸν Κριτὴν καὶ Υἱόν σου δυσώπησον.

Λογισμοῖς παροργίζων σε Κύριε, καὶ ταῖς πονηραῖς καὶ ἀθέσμοις μου πράξεσιν, εἰς ἰλασμὸν προσάγω

Athos Library
Αγιορειτική Βιβλιοθήκη

σοι, τὴν Μητέρα σου οἰκτειρον σῶσόν με.

Κατακρίσεως ῥῦσαί με Δέσποινα, τὸν αὐτοκατάκριτον ὄντα τοῖς πταίσμασιν, ὡς τὸν Κριτὴν κυήσασα, καὶ Θεὸν τῶν ἁπάντων καὶ Κύριον.

Κυβερνήτην Χριστὸν ἡ κυήσασα, εὐπλόως κυβέρνησον τὴν πολιτείαν μου, καὶ πρὸς λιμένα ἴθυνον, τῆς ἀλήκτου ζωῆς με Πανάμωμε.

ΕΤΕΡΟΣ τοῦ ὁσίου Ὀνουφρίου.
Εἱρμὸς ὁ αὐτός

Ἰθυνόμενος αὔραις τοῦ Πνεύματος, ὁρμῳ γαληνῷ προσεπέλασας ὅσιε, τὸ βάρος παρωσάμενος, τῆς σαρκὸς ἐγκρατείᾳ Ὀνούφριε.

Νεύσει θείᾳ θεούμενος γέγονας, ἄγγελος ἐπίγειος τὴν Ἰωάννου γάρ, καὶ Ἠλιοὺ ἐζήλωσας, πολιτείαν παμμάκαρ Ὀνούφριε.

Νοητῆς φωταυγείας πληρούμενος, καὶ ἐπουρανίῳ τροφῇ ἐκτρεφόμενος, Ἀγγέλους συλλαλοῦντάς σοι, ὡς ἰσάγγελος ἔσχες Ὀνούφριε.

Θεοτοκίον

Ὁ δυνώμενος πάθεσιν Ἄχραντε, καὶ συμποδιζόμενος τοῖς παραπτώμασιν, ἡ τὴν χαρὰν κυήσασα, τῶν κακούντων τὴν λύσιν παράσχου μοι.

ΑΛΛΟΣ. Τοῦ ὁσίου Πέτρου
Ἱλάσθητί μοι Σωτήρ.

Τὴν ἔρημον παροικῶν, ξένος τοῦ κόσμου καὶ πάροικος, ἐδείχθης ὡς ἀληθῶς, Πέτρε παμμακάριστε· Θεῷ ἤρετίσω γάρ, μόνος μόνῳ πάτερ, προσανέχειν τελεώτατα.

Ὁ δολιόφρων ἐχθρός, ὁ κατὰ σοῦ φρυαττόμενος, δίκην δεινῶν ἑρπετῶν, καὶ θηρίων ὥρμησε, κατὰ σοῦ μακάριε, ἀλλὰ κλήσει τοῦτον, τῆς Πανάγνου κατηδάφισας.

Ὑπὸ τῆς θείας ῥοπῆς, περιθαλπόμενος ὅσιε, τὴν γύμνωσιν τῆς σαρκός, ὡς ἄσαρκος ἔφερες, καὶ σαυτῷ ἐξύφανας, τῆς ἀθανασίας, πολυτίμητον ἱμάτιον.

Θεοτοκίον

Ἄϋλῳ ἐπισκοπῇ, τῆς Θεοτόκου σκεπόμενος, ἀπήμαντος τὰς βουλάς, διέβης τοῦ δράκοντος, καὶ τὸν Ἄθω ἡδευσας, Πέτρε θεοφόρε, τοῖς ἱδρῶσι τῶν ἀγώνων σου.

Καταβασία. Τὴν θείαν ταύτην.

Κοντάκιον

Ἦχος πλ. δ΄. Ὡς ἀπαρχὰς τῆς φύσεως.

Ὡς ἐν σαρκὶ ἰσάγγελοι, καὶ τῶν Ἀγγέλων σύναυλοι, ἐν ταῖς ἐρήμοις ὁσίως ἐφάνατε, ὑπερφυέσι σκάμμασιν, Ὀνούφριε θεοφόρε, καὶ Πέτρε τῶν ἐν Ἄθῳ τὸ ἐγκαλλώπισμα, δυὰς ἡ οὐρανόφρων προσάδοντες. Ἀλληλούϊα.

Ὁ Οἶκος

Ὦ ἀγάπη, τὸ φῶς τὸ ὑπέρλαμπρον! ὦ πασῶν ἀρετῶν τὸ κεφάλαιον! ἡ ἀεὶ τὰ οὐράνια τάγματα εὐφροσύνης πληροῦσα καὶ χάριτος, ἡ ἐνοικήσασα τοῖς ἁγίοις Πατριάρχαις, Προφήταις καὶ Ἀποστόλοις, ὧν ταῖς εὐχαῖς καὶ ἡμῖν ἐνοίκησον, ἵνα σὺν αὐτοῖς μελῳδῶμεν τῷ Θεῷ. Ἀλληλούϊα.

Συναξάριον

Τῇ ΙΒ΄. τοῦ αὐτοῦ μηνὸς μνήμη τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν Ὀνουφρίου τοῦ Αἰγυπτίου καὶ Πέτρου τοῦ ἐν τῷ Ἄθῳ.

Στίχοι

Καὶ τὴν ἑνὸς χιτῶνος ἐντολὴν πάτερ,
ὑπερβέβηκας, γυμνητεύσας εἰς τέλος.
Καὶ σοὶ προτείνει δεξιὰν Χριστὸς Πέτρε,
σωθέντι γυμνῷ ἐκ θαλάσσης τοῦ βίου.

Δωδεκάτῃ γε Ὀνούφριον Πέτρον τε ἐκ βίου ἦραν.

Καὶ τὰ λοιπὰ τοῦ Συναξαριστοῦ.

Ταῖς αὐτῶν καὶ πάντων σου τῶν ἁγίων πρεσβείαις Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ΄. Ὁ εἱρμός

»Ἀντίθεον πρόσταγμα, παρανομοῦν»τος τυράννου, μετάρσιον τὴν »φλόγα ἀνερρίπισε, Χριστὸς δὲ ἐφή»πλωσε θεοσεβέσι Παισί, δρόσον τὴν »τοῦ Πνεύματος, ὁ ὢν εὐλογημένος καὶ »ὑπερένδοξος. (δὶς)

Ἰσχύς μου καὶ ὕμνησις καὶ σωτηρία βεβαία, ἀντίληψις καὶ τεῖχος ἀπροσμάχητον, ὑπάρχουσα Δέσποινα, τοὺς πολεμοῦντάς με δαίμονας πολέμησον ἀεί, ἐπιζητοῦντας τοῦ θανατῶσαί με.

Θεὸν σωματώσασα παρθενικῶν σου αἱμάτων, ἐθέωσας Παρθένε τὸ ἀνθρώπινον, διό με τοῖς πάθεσι καταῤῥυπούμενον, καὶ καταφθειρόμενον ἐχθροῦ ταῖς μεθοδείαις ῥῦσαι πρεσβείαις σου.

Ἡ κάμινος γέννησιν, προδιετύπου τὴν σὴν Παναμώμητε, τοὺς Παῖδας γὰρ οὐκ ἔφλεξεν, ὡς οὐδὲ τὴν μήτραν σου τὸ πῦρ τὸ ἄστεκτον, ὅθεν δυσωποῦμέν σε, πυρὸς τοῦ αἰωνίου ῥῦσαι τοὺς δούλους σου.

Ἡλίου τὸ σκήνωμα, τοῦ ἀνεσπέρου ἡ μόνη ὑπέρλαμπρος, καὶ φωτοτόκος Δέσποινα, τῇ αἴγλῃ τῆς δόξης σου, τῇ ζωηφόρῳ σου Ἁγνή, τὸν νοῦν μου κατάυγασον, καὶ τὴν καρδίαν πλῆσον θείας ἐλλάμψεως.

ΕΤΕΡΟΣ τοῦ ὁσίου Ὀνουφρίου
Εἰκόνος χρυσῆς.

Νεώσας ψυχήν, τῷ ἀρότρῳ προσευχῆς πάτερ Ὀνούφριε, καὶ κατασπείρας τὴν ἐγκράτειαν, στάχυν ἁγνείας ἐθέρισας, ἣ συνδιαιτώμενος μάκαρ, σὺν Ἀγγέλοις ἐκραύγαζες, εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Ἐμάκρυνας μέν, σεαυτὸν ἐκ κοσμικῆς διαίτης ὅσιε, ἐν ἐρημίαις δ' αὐλιζόμενος, ἄρτον οὐράνιον εἴληφας, εἶχες γὰρ Χριστὸν σιτοδότην, ᾧ γεγηθὼς ἀνεκραύγαζες, εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Ἐώρα τῶν σῶν, ἐν ἐκπλήξει ὑπὲρ φύσιν παλαισμάτων, τοὺς πόνους πατὴρ Ὀνούφριε, δοξαζομένους τῷ Πνεύματι, ὁ κλεινὸς Παφνούτιος ᾄδη, διὸ καὶ χαίρων ἐκραύγαζεν, εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Θεοτοκίον

Ἑλίζει βροτούς, καὶ ἀΰλους Πάναγνε τῆς σῆς λοχείας, θεῖον μυστήριον, μόνη γὰρ ἄνευ σπορᾶς Λόγον τέτοκας, σάρκα γεγονότα δι' οἰκτον, ᾧ σωθέντες κραυγάζομεν, εὐλογημένη ἡ Θεὸν σαρκὶ κυήσασα.

ΑΛΛΟΣ. Τοῦ ὁσίου Πέτρου
Πηγὴν Ἑβραίων.

Θέρμῃ πυρούμενος ἄϋλῳ, ἀγαπήσεως ἁγίας ζωηφόρου, τοῦ κρυμοῦ τὴν φορὰν, καὶ καῦσιν τοῦ ἡλίου, ὑπέμεινας ἀκλόνητος, πάτερ Πέτρε θεοφόρε.

Ὥσπερ θεράπων σου οἰκεῖος, καὶ Ἀρχάγγελος δυνάμεως Κυρίου, ὁ ἐχθρὸς τῶν καλῶν, ἐπέστη σοι πλανῆσαι, τὸν ἀπλανῆ ἀστέρα σε, ἀλλ' ἠσχύνθη ταῖς εὐχαῖς σου.

Πῶς σου τὸν βίον ἐξυμνήσω, καὶ τὰ τρόπαια τὰ κατὰ τῶν δαιμόνων; ὡς περ ἄϋλος γάρ, ἐν ὕλῃ ἠγωνίσω, καὶ τοῦ ἐχθροῦ κατέβαλες, τὰς μυρίας πανουργίας.

Θεοτοκίον

Ῥώμην παρέχουσα καὶ σθένος, ἐν ὀνείρῳ σοι ἐπέστη ἡ Παρθένος· καὶ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

πλησθεὶς χαρμονῆς, ὅλος ἔνθους ἐβόας, εὐλογημένη Δέσποινα, σὺ ὑπάρχεις εἰς αἰῶνας.

Καταβασία. Οὐκ ἐλάτρευσαν.

Ὠδὴ η΄. Ὁ εἱρμός

»Κάμινός ποτε πυρὸς ἐν Βαβυλῶνι, »τὰς ἐνεργείας διεμέριζε, τῷ θείῳ »προστάγματι, τοὺς Χαλδαίους κατα»φλέγουσα, τοὺς δὲ πιστοὺς δροσίζουσα »ψάλλοντας, εὐλογεῖτε πάντα τὰ ἔργα »τὸν Κύριον. (δὶς)

Ζήλου τὰ καλὰ κακῶν μακρυνομένη, δι' ἐμμελείας θείων πράξεων, ψυχή μου πρεσβεύουσαν, ὑπὲρ σοῦ τὴν Θεομήτορα, καὶ πάντων ἀκαταίσχυντον, ἔχουσα προστασίαν, ὡς συμπαθῆ καὶ φιλάγαθον.

Ἔλυσας δεσμοῦ τῆς πάλαι καταδίκης, θεοκυῆτορ τὸ ἀνθρώπινον, διὸ ἱκετεύω σε, διαλῦσαι πάντα σύνδεσμον, κακίας τῆς καρδίας μου, Ἄχραντε συνδεσμοῦσα, θείᾳ στοργῇ με τοῦ Κτίσαντος.

Δόξης τοῦ Πατρὸς ἀπαύγασμα τεκοῦσα, τὴν ἀδόξῳ σκυθρωπάζουσαν, πταισμάττων καρδίαν μου, Θεοτόκε καταφαίδρυνον, καὶ δόξης με ἀνάδειξον, μέτοχον ἀϊδίου, εὐλογημένη Πανάμωμε.

Δύναμιν Ἁγνὴ κατὰ παθῶν ποικίλων, ἡ τοῦ Πατρὸς σαρκὶ κυήσασα, τὴν σύνθρονον δύναμιν, παράσχου μοι καὶ ἴασαι, ψυχῆς μου τὴν ἀσθένειαν, σὺ γὰρ ἁμαρτανόντων, ὤφθης θερμὸν ἱλαστήριον.

ΕΤΕΡΟΣ τοῦ ὁσίου Ὀνουφρίου
Τὸν ἐν καμίνῳ τοῦ πυρός.

Αἴγλῃ τοῦ Πνεύματος σαφῶς, πυρσευόμενος τὸν νοῦν φωσιῆρος δίκην, θεωριῶν ἀκτῖνας, καὶ ἰαμάτων αὐγάς, ἀστράπτεις παμμάκαρ Ὀνούφριε, τοῖς ὑπερυψοῦσι, Χριστὸν εἰς τοὺς αἰῶνας.

Δυνάμει θείᾳ εὐσθενής, γνωριζόμενος ἀεὶ δαιμόνων θράσος, καθελὼν τῶν ἀλόγων, ζώων τὴν φύσιν σαφῶς, κραυγάζων ὑπέταξας ὅσιε· σὲ ὑπερυψοῦμεν, Χριστὲ εἰς τοὺς αἰῶνας.

Δόξαν προσφέρων τῷ Θεῷ, τῇ κοιμήσει σου Παφνούτιος ὁ θεῖος, εὐσχημόνως κηδεύει, τὸ σῶμά σου τὸ σεπτόν, καὶ σάλπιγξ ἐδείχθη τοῖς πέρασι, τῶν ὑπερφυῶν σου, Ὀνούφριε ἀγώνων.

Θεοτοκίον

Ὅσπερ νεφέλη φωτεινή, τὸν ὑπέρθεον Χριστὸν ἥλιον φέρεις, ἐν ἀγκάλαις σου Μῆτερ, δι' οὗ τὸν ζόφον παθῶν, ψυχῆς μου λαμπρύνασα αὔγασον, τῷ τῆς ἀπαθείας, φωτὶ Θεογεννῆτορ.

ΑΛΛΟΣ τοῦ ὁσίου Πέτρου
Οἱ θεορρήμονες Παῖδες

Ὡς ἰσαγγέλῳ σοι Πέτρε Ἄγγελος θεῖος, ἄρτον Ἀγγέλων κομίζει, δι' οὗ τρεφόμενος ἔψαλλες, εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Τὸ ἐπουράνιον μάννα σοι ἐπομβρίζει, ὁ τῆς ζωῆς ἡμῶν ἄρτος τοὺς σοὺς ἀγῶνας δεξάμενος, εὐλογεῖτε βοῶντι τὰ ἔργα τὸν Κύριον.

Ἀγαλλιᾶται ὁ Ἄθως τὸ πῖον Ὄρος, καὶ ἐμφανὲς τῆς Παρθένου, τοῖς ἐναρέτοις σου σκάμμασι, Πέτρε καὶ πόθῳ γεραίρει τὴν ἔνθεον μνήμην σου.

Θεοτοκίον

Ῥάβδῳ τῆς σῆς προμηθείας ὁ θεῖος Πέτρος, ἐπερειδόμενος Κόρῃ, ἀσκητικῶς διεπέρασε, τῆς ἀρετῆς τὴν πορείαν δοξάζων τὴν δόξαν σου.

Καταβασία. Παῖδας εὐαγεῖς.

Ὠδὴ θ΄. Ὁ εἱρμὸς

»Ἀνάρχου Γεννήτορος, Υἱὸς Θεὸς »καὶ Κύριος, σαρκωθεὶς ἐκ Παρ»θένου ἡμῖν ἐπέφανε, τὰ ἐσκοτισμένα »φωτίσαι συναγαγεῖν, τὰ ἐσκορπι»σμένα, διὸ τὴν πανύμνητον, Θεο»τόκον μεγαλύνομεν. (δὶς)

Γευσάμενος βρώσεως, μὴ προσηκούσης θάνατον, ὁ Ἀδὰμ ἐκ τοῦ ξύλου πικρῶς ἐτρύγησε, ξύλῳ δὲ παγεὶς ὁ Υἱός σου τὸν γλυκασμὸν, τῆς ἀθανασίας ἐπήγασεν Ἄγραντε, διὰ τοῦτό σε γεραίρομεν.

Βασίλισσα πέφυκας, τὸν Βασιλέα Κύριον, ὑπὲρ λόγον τεκοῦσα τὸν διαλύσαντα, ᾅδου τὰ βασίλεια Κόρη ὃν ἐκτενῶς, δυσώπει τῆς ἄνω, Βασιλείας ἅπαντας, ἀξιῶσαι τοὺς ὑμνοῦντάς σε.

Ἀγάθυνον Δέσποινα, τὴν ταπεινὴν καρδίαν μου, ἡδονῶν κακωθεῖσαν ταῖς ἐπικλύσεσιν, ὡς τὸν Ἀγαθὸν τετοκυῖα, καὶ ἀγαθὴ ὑπάρχουσα ὅλη, καὶ πρὸς μετανοίας με, ἀγαθὰς πύλας εἰσάγαγε.

Ἀφθόρως κυήσασα, τὸν ἐκ φθορᾶς ῥυσάμενον, διὰ τ υς τιμίου, γένος τὸ βρότειον, ἐκ φθοροποιῶν παθημάτων καὶ χαμερπῶν, ἀεὶ νοημάτων ἐλεύθερον τήρει με, Θεοτόκε τὸν ἱκέτην σου.

ΕΤΕΡΟΣ τοῦ ὁσίου Ὀνουφρίου
Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον

Πυρὶ Θεοῦ τῆς ἀγάπης, ἡδονὰς καταφλέξας, σαρκὸς καὶ ὡραΐσας τὴν ψυχήν, οἷα ἀστὴρ πάτερ ἔλαμψας, ἐν ἐρήμῳ φωτίζων, τὴν πᾶσαν οἰκουμένην ἐμφανῶς, τοῦ σοῦ βίου ἀκτῖσι, καὶ φέγγει τῶν ἰάσεων.

Ὅλος Θεῷ κεκραμένος, δι' ἀγάπης τρισμάκαρ, μετέσχες βασιλείας τῆς αὐτοῦ, καὶ τῆς τρυφῆς τὴν ἀπόλαυσιν, καὶ ζωῆς τὸν χειμάῤῥουν, καὶ τῶν ἑορταζόντων τὸν χορόν, καὶ χαρὰν τὴν ἀγήρω, ἀπείληφας Ὀνούφριε.

Θεὸν εὐίλατον ἔχων, σῆς ἀσκήσεως πόνοις, ἱδρῶσί τε καμάτων νῦν τῶν σῶν, τοῦτον ἡμῖν ἐξευμένισαι, τοῖς ὑμνοῦσί σε πᾶσι, λυτρούμενος σοφὲ ἐκ πειρασμῶν, καὶ παθῶν καὶ ὀδύνης, Ὀνούφριε ἀοίδιμε.

Θεοτοκίον

Ὡς προστασίαν σε μόνην, καὶ ἰσχὺν Θεοτόκε, καὶ τεῖχος καὶ προπύργιον στερῤῥόν, ἔχων τροποῦμαι ἐχθρῶν προσβολάς, καὶ παθῶν ἐπικλύσεις, ἐν σοὶ γὰρ τὰς ἐλπίδας μου ἀεί, ἀνεθέμην τῇ μόνῃ, φθορᾶς ἀπαλλατούσῃ με.

ΑΛΛΟΣ τοῦ ὁσίου Πέτρου
Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανός.

Χαρᾶς καὶ εὐφροσύνης πνευματικῆς, καὶ πολλῆς ἐπληρώθη ἐκπλήξεως, ὁ θηρευτής, πάτερ ὥσπερ θήραμα νοητόν, καὶ θησαυρὸν ἀσύλητον, ἔνδον τῆς ἐρήμου σε ἐφεῦρών, τὸν πάλαι κεκρυμμένον, καὶ ἤνεσεν ἐν θάμβει, Πέτρε Χριστὸν τὸν σὲ δοξάσαντα.

Ἡ θήκη τῶν λειψάνων σου ἡ σεπτή, ἰατρεῖον ἐδείχθη ἀδάπανον, νόσων δεινῶν, παύουσα τὴν ῥύμην τὴν χαλεπήν, καὶ πνεύματα ἀκάθαρτα, πάτερ ἀπελαύνουσα ἐμφανῶς, ἡ χάρις γὰρ ἡ θεία, ἐν ταύτῃ ἐνοικοῦσα, ξένα ἐργάζεται θαυμάσια.

Νεκρώσας μου τὸ φρόνημα τῆς σαρκός, τῆς ζωῆς ἐνεργείᾳ τῆς κρείττονος, Πέτρε σοφέ, ζώωσον ψυχήν μου τὴν ταπεινήν, τὴν νεκρωθεῖσαν ὅσιε, ταῖς ἐπὶ τὸ χεῖρον ἐπιῤῥοπαῖς, δεξάμενος ὑψόθεν, τὸν ὕμνον θεωρόφρε, ὥσπερ λεπτὰ δύο θεόδεκτα.

Θεοτοκίον

Ναμάτων ψυχοτρόφων ζωοποιῶν, γλυκερῶν καὶ ποτίμων πολύῤ-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ρυτος, οὗτος πηγή, Κεχαριτωμένη Μῆτερ Ἁγνή, ὕδωρ ζωῆς ἀθάνατον, ἐλθὸν τῇ διψώσῃ μου νῦν ψυχῇ, καὶ κάθαρόν με Κόρῃ, δακρύων ἐπομβρίαις, διὰ τελείας μεταγνώσεως.

Καταβασία. Ἅπας γηγενής.

Ἐξαποστειλάρια
Τῶν Μαθητῶν ὁρώντων σε.

Ὁ ὑψηλός σου βίος τοῖς μονοτρόποις, κανὼν θεοσεβείας τελεστάτης, σὺ γὰρ λογισμῷ ἐνζυμωμένος, ἐν ζυγῷ διακρίσεως, ποιεῖς Ὀνούφριε τούτους, εὐπαρακλήτως ὁδεύειν.

Ἕτερον ὅμοιον.

Ἡσυχαστῶν, τὸν πρώτιστον τῶν ἐν Ἄθῳ, τὸν ὑπερμέτρους ἀγῶνας τετελεκότα, Πέτρον μακαρίσωμεν τὸν ὅσιον, ὡς πέτρα γὰρ ἀτίνακτος, τὰς προσβολὰς τῶν δαιμόνων, κατέρραξε μέχρι τέλους.

Θεοτοκίον ὅμοιον.

Ὡς κηδεμών, καὶ ἔφορος καὶ προστάτις, καὶ ἰατρὸς τροφεύς τε καὶ θεία σκέπη, τοῦ ἁγίου Ὄρους σου Θεόνυμφε, φρούρει ἀεὶ καὶ δίεπε, πρὸς σωτηρίας εἰσόδους, τοὺς ἐν αὐτῷ κατοικοῦντας.

ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν στίχους στ΄. καὶ ψάλλομεν τὰ ἑπόμενα στιχηρὰ προσόμοια.

Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος

Πάτερ θεόφρον Ὀνούφριε, τοῦ Ἡλιοὺ μιμητής, χρηματίσας ἐν πνεύματι, μετανάστης γέγονας, τῆς τοῦ κόσμου συγχύσεως, σαρκὸς ὀρέξεις ἀπαρνησάμενος, καὶ ἐν ἐρήμῳ συναυλιζόμενος, χαίρων μακάριε, τὴν ψυχὴν ἐπτέρωσας, πρὸς οὐρανόν, ἔνθα τὸ πολίτευμα, σαφῶς ἐκέκτησο.

Ὅσιε πάτερ Ὀνούφριε, ἱερωτέραν ψυχήν, θεοφρόνως κτησάμενος, πειρασμοὺς ὑπήνεγκας, θεῖα πίστει ῥωννύμενος, καὶ δι᾽ ἀγάπης, Θεῷ ἑνούμενος, τῇ τῶν πραέων γῇ κατεσκήνωσας, ὡραϊζόμενος, ἀρετῶν λαμπρότησιν ὅθεν τὴν σήν, μνήμην εὐφραινόμενοι, πανηγυρίζομεν.

Πάτερ παμμάκαρ Ὀνούφριε, τὰς ὑπὲρ νοῦν δωρεάς, οὐρανόθεν δεξάμενος, εὐσεβῶς μετέδωκας, τοῖς πεθοῦσι τρισόλβιε, τῆς σῆς ἀσκήσεως τὰ γνωρίσματα, εὐλογημένης φωνῆς ἀκήκοας, ἔνδον γενόμενος, τοῦ νυμφῶνος ἔνθα νῦν περιπολεῖς, θρόνῳ τοῦ Παντάνακτος, ἀξιοθαύμαστε.

Πέτρε τῶν ἐν Ἄθῳ καύχημα, ἀγωνισμάτων τῶν σῶν, τὰ λαμπρὰ κατορθώματα, καὶ τῆς πολιτείας σου, τὰ ἐξαίρετα ἔπαθλα, τὰς διανοίας ἡμῶν ἐξέστησαν, καὶ τῶν δαιμόνων, φάλαγγας ἔτρεψαν. Ὢ τῶν καμάτων σου! πῶς καθάπερ ἄσαρκος τὴν σὴν ζωήν, γυμνός τε καὶ ἄστεγος, ἤνυσας ὅσιε.

Θεία κελεύσει πειθόμενος, τῆς Θεοτόκου Ἁγνῆς, ἐν τῷ Ἄθῳ προσέδραμες, βίον ὑπερκόσμιον, ἀνενδότως ἑλόμενος, ἔνθα δαιμόνων λύσας τὰ φάσματα, ἄρτον Ἀγγέλων ἐδέξω ὅσιε. Ὢ ἧς ἠξίωσαι, ἀριζήλου χάριτος, Πέτρε σοφέ! ὄντως θεοβράβευτον, τὸ σὸν ἀξίωμα!

Ὥσπερ θησαυρὸν κρυπτόμενον, ὁ εὐσεβὴς θηρευτής, σὲ θηρεύων ἐφεύρηκεν, ἐν ἐρήμῳ ὅσιε, ἐκπλαγεὶς τῷ θεάματι, ἁγιασθεὶς δὲ ταῖς σαῖς προσψαύσεσιν, ἁγιασμοῦ σε δῶρον πολύτιμον, πᾶσιν ἐγνώρισε, καὶ καθυπουργήσας σοι κόσμῳ παντί, ἐμφανὲς πεποίηκε, τὸ θεῖον σκῆνός σου.

Δόξα. Ἦχος β΄.

Ἐζητήσατε θεοφόροι, τοῦ θεωρεῖν τοῦ Κυρίου τὴν τερπνότητα, καὶ μόνοι αὐτῷ μόνῳ, προσομιλεῖν ἐπεποθήσατε. Ὅθεν κόσμον κατελίπετε, φυγαδεύοντες καὶ διαιτώμενοι, ἐν ἐρήμοις καὶ ὄρεσι, καὶ τὸν Χριστὸν ἐνδεδυμένοι, χιτῶνος οὐκ ἐφροντίζετε, τῆς ἀφθαρσίας χιτῶνα ὑμῖν αὐτοῖς ἐμπορευόμενοι, μεθ᾽ οὗ εἰσήλθετε εἰς τὸν οὐράνιον νυμφῶνα, αἰωνίως ἀγαλλόμενοι, Ὀνούφριε καὶ Πέτρε, καὶ πρεσβεύοντας τῷ Κυρίῳ, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Δοξολογία μεγάλη καὶ ἀπόλυσις

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ τυπικά, οἱ μακαρισμοί, καὶ ἐκ τῶν Κανόνων ἡ γ΄. καὶ στ΄. ᾠδή. Ἀπόστολον καὶ Εὐαγγέλιον ζήτει εἰς ὁσίους.

Μεγαλυνάρια

Δεῦτε τῆς ἐρήμου τοὺς πολιστάς, καὶ τῆς ἰσαγγέλου, διαγωγῆς, Ὀνούφριον ἅμα, καὶ Πέτρον τὸν ἐν Ἄθῳ, ὡς ἰσοτίμους δόξῃ, ὕμνοις τιμήσωμεν.

Ἔρημον ἑλόμενοι κατοικεῖν, ἐν σκληραγωγίᾳ, καὶ γυμνότητι τῆς σαρκός, ἄϋλος ἐν ὕλῃ, Ὀνούφριε ὡράθης, καὶ ἄρτῳ οὐρανίῳ, ἐτράφης ὅσιε.

Τῇ τῆς Θεοτόκου Πέτρε ὁμφῇ, ὑπήκουσας ἐν Ἄθῳ, καὶ δαιμόνων τὰς μηχανάς, ἴσχυνας εἰς τέλος, τῇ καρτερᾷ ἀσκήσει, καὶ ἄρτον τῶν Ἀγγέλων, ἐδέξω ὅσιε.

ΟΙ ΚΑΤΑ ΠΛΑΤΟΣ ΕΛΛΗΝΙΚΟΙ ΒΙΟΙ
Τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν ΟΝΟΥΦΡΙΟΥ τοῦ ΑΙΓΥΠΤΙΟΥ καὶ ΠΕΤΡΟΥ τοῦ ΑΘΩΝΙΤΟΥ, ἀντιγραφέντες ἐκ χειρογράφων τῆς ἱερᾶς μονῆς Μεγίστης Λαύρας.

ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ
Τοῦ ὁσίου πατρὸς ἡμῶν
ΟΝΟΥΦΡΙΟΥ ΤΟΥ ΑΙΓΥΠΤΙΟΥ
Ἱστορηθεὶς παρὰ Παφνουτίου μοναχοῦ τοῦ ἀναχωρητοῦ.
(Λαυριωτικ. χειρόγραφ κῶδιξ Ι 117 Φύλ 3ϹΟ β. – 315 α.)

Εὐλόγησον πάτερ

1. Ἐν μιᾷ τῶν ἡμερῶν σπουδὴν ἐποιησάμην εἰς τὴν ἐσωτέραν γενέσθαι ἔρημον, καὶ θεάσασθαι εἰ ἔστιν ἄλλος μοναχὸς ἔσωθέν μου δουλεύων τῷ Κυρίῳ· καὶ ἀναστάς, ἐπορεύθην ἐπὶ τέσσαρας ἡμέρας εἰς τὴν ἐνδοτέραν ἔρημον, μήτε ἄρτου μήτε ὕδατος μεταλαβών· τῇ δὲ τετάρτῃ ἡμέρᾳ ἐπιστὰς σπηλαίῳ σεμνῷ, ἔμεινα πρὸς τὴν θυρίδα κρούων ἐπὶ ὥραν μίαν, ἐπ᾽ ἐλπίδι τοῦ κατὰ τὴν συνήθειαν τῶν ἀδελφῶν, μοναχόν τινα ἐξελθεῖν καὶ ἀσπάσασθαί με αὐτόν. Κρούσαντος δέ μου καὶ μηδενὸς ἀποκρινομένου, ἀνεώξας τὴν θύραν, εἰσῆλθον, τὸ εὐλόγησον, κράζων. Καὶ θεασάμενός τινα καθεζόμενον, ἠψάμην τοῦ ὤμου αὐτοῦ καὶ ἐγένετο ὡσεὶ χνοῦς· καὶ τὸ λοιπὸν δὲ τοῦ σώματος ψηλαφήσας, εὗρον τοῦτον ἤδη τεθνηκότα ἐκ πολλοῦ τοῦ χρόνου. Ἐθεασάμην δὲ καὶ κολόβιον, καὶ αὐτοῦ ἁψάμενος, γέγονεν ὡσεὶ κονιορτὸς ἐν

Athos Library
Αγιορειτική Βιβλιοθήκη

τῇ χειρί μου, ὥστε παραχρῆμα ἐκδύσασθαί με τὴν ἰδίαν στολὴν καὶ σκεπάσαι τὸ σῶμα τοῦ τεθνηκότος· καὶ προθύμως ὀρύξας ταῖς ἰδίαις χερσὶ τῇ ψαμμώδει γῇ κατέθηκα τὸ λείψανον αὐτοῦ μετ' εὐχῆς καὶ δακρύων πολλῶν.

2. Ἐξελθὼν ἐκεῖθεν, ἐπορεύθην πάλιν ἐπὶ τὰ ἐνδότερα μέρη τῆς ἐρήμου. Καὶ εὑρηκὼς ἕτερον σπήλαιον, ἔξωθεν δὲ ἰδὼν ἴχνη ἀνθρώπων, καὶ γνοὺς οἰκεῖν τινα ἐν αὐτῷ, βραχὺ μετεβλήθην τὸν νοῦν· κρούσας δὲ καὶ μηδεμιᾶς ἀκούσας φωνῆς, εἰσελθὼν ἐν τῷ αὐτῷ σπηλαίῳ καὶ οὐδένα εὑρηκὼς ἐξῆλθον λογιζόμενος δοῦλον Θεοῦ ἐκεῖσε ἀσκεῖν· καὶ πλησίον τοῦ τόπου γενόμενος, μέλλων ἐπὶ τὸ ἴδιον ἔρχεσθαι κελλίον, ἔμεινα προσκαρτερῶν πᾶσαν τὴν ἡμέραν, σπουδάζων ἀσπάσασθαι τὸν ἄνδρα, εὐχόμενος καὶ λέγων ἀπαύστως ἐκ τοῦ Ψαλτηρίου. Πληρουμένης δὲ τῆς ἡμέρας ἐκείνης, ἐθεασάμην ἀγέλην βουβάλων ἐρχομένην καὶ ἀδελφὸν ἐν μέσῳ αὐτῶν περιπατοῦντα. Φθασάντων δὲ αὐτῶν ἐγγύς μου εἶδον τὸν ἄνδρα ἐκεῖνον γυμνὸν μὲν ἀπὸ ἐσθῆτος, ταῖς δὲ θριξὶ τὸ σῶμα αὐτοῦ ἐσκεπασμένον. Καὶ ἐπιστὰς τῷ τόπῳ ἐν ᾧ ἱστάμην, καί νομίσας με πνεῦμα εἶναι, ἔμεινε προσευχόμενος· (καὶ γὰρ πολλὰ πνεύματα ἐν ἐκείνοις τοῖς τόποις ἐπείρασαν αὐτόν, καθὼς αὐτὸς τελευταῖον ἐξηγήσατό μοι·) εἶπον δὲ αὐτῷ: Τίνος χάριν φοβῇ δοῦλε Ἰησοῦ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν; θεώρησον καὶ βλέπε τὰ διαβήματά μου, ὅτι ἄνθρωπός εἰμι ὡς καὶ σύ· ψηλάφησον ὅτι σὰρξ καὶ αἷμά εἰμι· αὐτὸς δὲ θεωρήσας με καὶ εὐχαριστήσας, εἶπε τό, Ἀμήν. Ἐγὼ δὲ παρεκάλεσα αὐτὸν καὶ ἔπεισα εἰς τὸ ἴδιον σπήλαιον εἰσαγαγεῖν με, ἐκεῖνος δὲ ἐπηρώτα με· πῶς παραγέγονας ἐνταῦθα; καὶ ἐθάρρησα αὐτῷ τὸν σκοπόν μου, ὅτι θελήσας γνῶναι τοὺς δούλους τοῦ Χριστοῦ τοὺς ὄντας ἐν τῇ ἐρήμῳ ταύτῃ, παραγέγονα· καὶ ὁ Θεὸς οὐκ ἐστέρησέ με τῆς ἐπιθυμίας μου ταύτης.

3. Καὶ ἐπηρώτησα αὐτὸν λέγων: Πῶς ἦλθες ἐνταῦθα; καὶ πόσον χρόνον ἔχεις ἐν τῇ ἐρήμῳ ταύτῃ; καὶ τίνος ἕνεκεν γυμνητεύεις μηδὲν περιβεβλημένος; Ὁ δὲ ἔφη μοι ταῦτα: Ὀνόματι μοναχὸς πρώην ἤμην ἐν Κοινοβίῳ τῆς Θηβαΐδος διάγων καὶ ἐργαζόμενος θαρσηκάριος (*). Συνεῖδον οὖν ἐξελθεῖν ἐκ τοῦ Κοινοβίου ἐκείνου, καὶ μόνος ἡσυχ'ως οἰκεῖν ἐν Μοναστηρίῳ, ὥστε τοὺς ξένους καὶ μοναχοὺς δέχεσθαι, μείζονα μᾶλλον μισθὸν παρὰ τῷ Θεῷ εὑρεῖν σπουδάζων. Τοῦτο καταθυμίως ἐν νῷ λαβών, ᾠκοδόμησα μικρὸν κελλίον καὶ ἔμεινα ἐν αὐτῷ μόνος τὸ ἴδιον χειρότεχνον πράττων· ὅθεν καὶ πολλοὶ παρεγένοντο πρός με ἐπιτάττοντές με ὅπερ ταῖς χερσὶν ἐποίουν ἔργον· καὶ οὐκ ὀλίγα μοι ἐνταῦθα προσεγέγονεν εὖ, περὶ ὧν περὶ τοῖς πτωχοῖς καὶ τοῖς χρείαν ἔχουσι καὶ τοῖς ξενιτεύουσι παρεῖχον. Ὁ δὲ κατὰ πάντα μισόκαλος ἐχθρὸς φθονήσας μοι κατὰ τὸν καιρὸν ἐκεῖνον, καὶ παρεμποδών μοι πρὸς τὸν σπουδαζόμενον παρὰ Θεῷ σκοπὸν γενέσθαι βουλόμενος, εἰσελθὼν εἰς τὸν νοῦν μιᾶς μοναχῆς γυναικὸς γενομένης πρός με ἐπιταττούσης μοι ἔργον, παρεσκεύασεν αὐτὴν ἐπὶ πολὺ γενέσθαι πρός με, ὥστε παῤῥησιασθέντας ἡμᾶς πρὸς ἀλλήλους καὶ συναλισθῆναι· τὸ δὲ δεινότερον καὶ τελευταῖον, ὠδινήσαμεν πόνον καὶ ἐτέκομεν ἀνομίαν, καὶ ἐμείναμεν ἐν τῇ ἁμαρτίᾳ ἐπὶ μῆνας ἕξ. Μετὰ δὲ ταῦτα, ἐν νῷ λαβὼν τὸ τοῦ βίου τέλος καὶ τὴν αἰωνίαν καὶ μεγάλην κρίσιν, καὶ τὸ σκότος τὸ ἐξώτερον καὶ τὴν τοῦ ἀσβέστου πυρὸς κατάφλεξιν, καὶ τὴν τοῦ ἀκοιμήτου σκώληκος κατάβρωσιν, εἶπον ἐν ἑαυτῷ: Οὐαί σοι ψυχή! κάλλιόν μοι ἀναστῆναι καὶ ἀπελθεῖν ἐν τῇ ἐρήμῳ, καὶ φυγεῖν ἀπὸ τῆς

(*) Ἐν ἑτέρῳ χειρογράφῳ λινυφικὸν=ἐπεξεργασίαν λινῶν ὑφασμάτων.

ἁμαρτίας· καὶ καταλείψας πάντα τὰ πράγματά μου, καὶ τὴν γυναῖκα ἐκείνην ἐπορεύθην ἐν ταύτῃ τῇ ἐρήμῳ, καὶ εὗρον τὴν πηγὴν καὶ τὸ σπήλαιον τοῦτο καὶ τὸν φοίνικα τοῦτον τὸ πρᾶγμα τῆς ζωῆς μου. Οὗτος ὁ φοίνιξ γεννᾷ δώδεκα σπάθας καθ' ἕκαστον ἔτος, τουτέστι μίαν σπάθην κατὰ μῆνα· ἡ δὲ μία σπάθη ἀρκεῖ μοι τριάκοντα ἡμέρας, καὶ μετὰ ταῦτα ἔρχεται ἄλλη σπάθη· οὐδὲν δὲ ἔχω ἄλλο ἐν τῷ σπηλαίῳ τούτῳ, οὐ τροφὴν ἄρτου, οὐκ ἄλλο τι βρώσιμον· ἀλλὰ καὶ τὰ ἱμάτιά μου τῷ χρόνῳ διεφθάρησαν, καὶ ταῖς θριξὶ τῆς κεφαλῆς μου τὸ σῶμα σὺν τῇ ἀσχημοσύνῃ σκέπεται· ἤδη γὰρ τριακονταετῆ χρόνον ἔχω εἰσελθὼν ἐν τῇ ἐρήμῳ ταύτῃ, καὶ οὐ διέλειψεν ὁ ἀὴρ κρᾶσιν κεραστικὴν ἑκάστοτε διδούς μοι, καὶ οὐκ ἐγευσάμην παντελῶς ἄρτου.

4. Ταῦτα ἀκούσας ἐγὼ παρὰ τοῦ δικαίου ἐκείνου, ἠρώτησα αὐτὸν λέγων: Ἀρχῆς ὅταν ἦλθες ἐνταῦθα, ἐκοπώθης ἢ οὔ; αὐτὸς δὲ ἀποκριθεὶς εἶπέ μοι: Πρῶτον πάνυ ἐκοπώθην ἀδελφέ, ὡς ὀδυνώμενόν με ῥίπτειν ἐμαυτὸν ἐπὶ τὴν γῆν, πάσχοντα τὴν καρδίαν καὶ μὴ δυνάμενον ἀνακεφαλίσαι καὶ τὴν σύναξίν μου ἑστῶτα ποιῆσαι, ἀλλὰ διὰ τὴν ἀσθένειαν τῆς καρδίας ῥίπτειν ἑαυτὸν εἰς τὸ ἔδαφος, καὶ κυλιόμενον ἐπιτελεῖν τὴν σύναξίν μου, εὐχόμενος τῷ περὶ πάντα εὐσπλάχνῳ Θεῷ ὑπὲρ λύτρου τῶν ἐμῶν ἁμαρτιῶν. Καὶ πολλοὺς ὑπομείνας κόπους, ἐν μιᾷ τῶν ἡμερῶν καθεζόμενος, καὶ τὰ ἐντὸς τῆς κοιλίας μου σφόδρα πάσχων, ἐθεασάμην ἄνδρα ἔνδοξον ἐνώπιόν μου ἑστῶτα, ὃς ἀπεκρίνατό μοι λέγων; Τί ἔχεις καὶ πόθεν ἀλγεῖς; Πάραυτα δὲ τοῦτο ἀκούσας παρ' αὐτοῦ, ἐνεδυναμώθην καὶ εἶπον αὐτῷ· τὸ ἤπαρ. Αὐτὸς δὲ τὴν χεῖρα αὐτοῦ ἐκτείνας καὶ ἐπιθεὶς ἐπ' ἐμὲ καὶ τοὺς δακτύλους ἐπ' ἀλλήλους, ἔσχισε τὸ πλευρόν μου ὡς ἐκ μαχαίρας, καὶ ἐξήγαγέ μου τὸ ἧπαρ· (σφόδρα γὰρ ἔπασχον αὐτό·) καὶ ἔδειξέ μοι τὰς πληγὰς ἃς εἶχον ἐν αὐτῷ· καὶ ἔξεσεν αὐτὸ τῇ χειρὶ αὐτοῦ, καὶ ἄμωμον ἐνέβαλε ῥάκος, καὶ κατέστησε τὸ ἧπάρ μου εἰς τὸν τόπον αὐτοῦ· καὶ ψηλαφήσας ὅλον τὸ σῶμά μου ταῖς εὐλογημέναις αὐτοῦ χερσίν, ἐκόλλησε τὸ σαθρὸν τοῦ πλευροῦ, καὶ εἶπέ μοι: Ἰδοὺ ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρον τούτου γένηταί σοι, ἀλλὰ δούλευε Κυρίῳ τῷ Θεῷ σου ἀπὸ τοῦ νῦν καὶ εἰς τοὺς αἰῶνας. Καὶ ἰδοὺ ἀπὸ τῆς ἡμέρας ἐκείνης ἕως τοῦ νῦν ἐθεραπεύθην πάντα τὰ ἐντός μου. καὶ ἔπαυσεν ὁ πόνος τοῦ ἥπατός μου. Μένω οὖν ἐξ ἐκείνου ἄκοπος, εὐλογῶν τὸν Θεὸν καὶ δοξάζων αὐτὸν διὰ τὴν αὐτοῦ εὐσπλαγχνίαν. Ἔδειξέ μοι δὲ καὶ τὸ ῥάκος τοῦ ἀμώμου ὃ ἐπέθηκεν ὁ ἀνὴρ ἐκεῖνος ὁ ἔνδοξος ἐπὶ τὸ πλευρὸν αὐτοῦ.

5. Ὅτε ταῦτα πάντα ἀφηγήσατό μοι τῷ ταπεινῷ Παφνουτίῳ, παρεκάλεσα αὐτὸν μεῖναι σὺν αὐτῷ ἐν τῷ σπηλαίῳ αὐτοῦ. Καὶ αὐτὸς ἀπεκρίνατό μοι λέγων: Οὐ δύνασαι ἀδελφέ μου τὴν ὁρμὴν τῶν δαιμόνων βαστάσαι. Ὕστερον δὲ παρεκάλεσα αὐτὸν γνωρίσαι μοι τὸ ὄνομα αὐτοῦ· καὶ εἶπέ μοι. Τιμόθεος ὄνομά μοι· μέμνησό μου καί εὔχου μοι ἀγαπητὲ ἀδελφέ μου, ἵνα ὁ Θεὸς τελειώσῃ ἐπ' ἐμοὶ τὸ ἀγαθὸν οὗ ἠξιώθην. Ἐγὼ δὲ Παφνούτιος προσέπεσα τοῖς ποσὶν αὐτοῦ εὔχεσθαι ὑπὲρ ἐμοῦ· αὐτὸς δὲ ἀποκριθείς, ἔφη: Ὁ Δεσπότης ἡμῶν Ἰησοῦς Χριστὸς εὐλογήσαι σε καὶ σκεπάσαι σε ἀπὸ πάσης παγίδος τοῦ διαβόλου, καὶ παράσχοι σοι ὁδοὺς εὐθείας εἰς τὸ περιδραμεῖν σε πρὸς τοὺς ἁγίους αὐτοῦ, εἰς τοὺς αἰῶνας. Εὐλογηθείς δὲ παρ' αὐτοῦ, ἐξῆλθον προθύμως σὺν χαρᾷ πολλῇ εὐλογῶν τὸν Θεὸν διὰ τοὺς λόγους οὓς ἤκουσα παρ' αὐτοῦ· ὁδεύων δὲ ἐλογιζόμην ἐν ἑαυτῷ,

Athos Library
Αγιορειτική Βιβλιοθήκη

καὶ λυπούμενος σφόδρα, ἔλεγον. Τί ἐστιν ἡ ἐμὴ ζωή, ἢ ἡ πολιτεία; Καὶ ἔμεινα οὐκ ὀλίγας ἡμέρας ἐνθυμούμενος ταῦτα καὶ ἐπιθυμῶν ἀκολουθεῖν τοῖς θεαρέστοις ἔργοις τοῦ δικαίου τούτου ἀνδρός· τῆς δὲ τοῦ φιλανθρώπου Θεοῦ ἐπιλαμψάσης μοι προνοίας, οὐκ ἠμέλησα τῆς ἐμαυτοῦ ζωῆς, ἀλλ' ἐγερθεὶς πάλιν, ἐπορεύθην ἐν τῇ ἐσωτέρᾳ ἐρήμῳ ἐν ὁδῷ ἀβάτῳ, ἔνθα ἐστὶ τὸ γένος τῶν λεγομένων Μαζίκων, πᾶσα γάρ μοι γέγονε σπουδὴ γνῶναι εἰ ἔστιν ἕτερος ἀναχωρητὴς ἐν τοῖς ἐνδοτέροις μέρεσι τῆς ἐρήμου δουλεύων τῷ Θεῷ, ὅπως ἀξιωθῆναί με καὶ τούτου τυχεῖν.

6. Ταύτης τῆς ὁδοῦ ἀπαρξάμενος, βαστάσας μεθ' ἑαυτοῦ ὀλίγους ἄρτους καὶ ὕδωρ μέτριον, ἅπερ ἄχρις ἡμερῶν τεσσάρων ἤρκεσάν μοι. Τούτων διελθουσῶν, καὶ τοῦ δαπανήματος πληρωθέντος, ἐλυπούμην περὶ τὴν τροφὴν στενούμενος, καὶ παραχρῆμα δύναμιν λαβών, καὶ τὸν θάνατον ἐνώπιόν μου ἔχων ἐάσας, ἐπορεύθην ἐπὶ ἄλλας τέσσαρας ἡμέρας καὶ νύκτας τέσσαρας μὴ γευσάμενος ἄρτου ἢ ὕδατος, ὡς πάλιν τῇ τροφῆς λειπόμενον σφόδρα κοπωθῆναι με, καὶ ῥίψαντα ἐμαυτὸν ἐπὶ τῆς γῆς προσδοκᾶν τὸν θάνατον. Τότε εἶδον ἄνδρα ἔνδοξον ἐλθόντα, καὶ τὴν χεῖρα αὐτοῦ ἐπὶ τὰ χείλη μου ἐπιθέντα, ὥσπερ ἰατρὸς τὴν μίλην αὐτοῦ ἐπὶ ὀφθαλμοῦ, καὶ παραχρῆμα ἐνεδυναμώθην, ὥστε μήτε πείνης μήτε δίψης αἰσθάνεσθαί με. Ἰδὼν δὲ ταύτην τὴν μεγάλην καὶ φοβερὰν ὀπτασίαν, ἀνεστὰς πάλιν ἐπορεύθην προθύμως εἰς τὴν ἐσωτέραν ἔρημον ἐπὶ ἄλλας τέσσαρας ἡμέρας καὶ τέσσαρας νύκτας, καὶ σφόδρα κοπωθείς, καὶ ἐκτείνας τὰς χεῖράς μου εἰς τὸν οὐρανόν, ηὐξάμην τῷ Θεῷ, καὶ πάλιν ἑωρακὼς ἐλθόντα πρός με τὸν ἄνδρα ἐκεῖνον ὃν εἶδον τὸ πρότερον, δύναμιν παρ' αὐτοῦ ἔλαβον πολλὴν αὖθις.

7. Δέκα καὶ ἑπτὰ ἡμερῶν παυσαμένων τῆς ἐμῆς ὁδοιπορίας, ἐθεασάμην πόρρωθεν ἄνδρα τῷ εἴδει φοβερὸν ἐρχόμενον, δρασὺν ὄντα ταῖς θριξί, καὶ ταύταις τὸ σῶμα ἐσκεπασμένον ὡσεὶ θηρίον φοβερόν, ἦν γὰρ ἀπὸ ἐσθῆτος γυμνός, καὶ φύλλα βοτάνης ἐπὶ τὴν ὀσφὺν αὐτοῦ περιβεβλημένος· τοῦτον δὲ θεασάμενος πλησίον μου, ἔμφοβος γενόμενος, ἀνῆλθον ἐπὶ τὸ πτερύγιον τοῦ ὄρους ὑψηλοῦ λίαν τυγχάνοντος· ἐδειλίασα γὰρ νομίσας ἀνθρωποκτόνον αὐτὸν εἶναι. Αὐτὸς δὲ φθάσας ὑπὸ κάτω τοῦ πτερυγίου ἐκείνου, ἐβόησέν μοι ἐκ τοῦ ἰδίου ἐπὶ τὴν σκιάν, ἦν γὰρ θλιβόμενος διὰ τὴν τοῦ γήρως καὶ τῆς τροφῆς στένωσιν, καὶ τὸν καύσωνα καὶ τὸν κόπον ὃν ὑπέμεινεν ἐν τῇ ἐρήμῳ ἐκείνῃ Καὶ ἀναβλέψας ἐπὶ τὸ ὄρος καὶ θεασάμενός με, ἐφώνησέ μοι λέγων: Κάτελθε πρός με ἄνθρωπε ἁγιώτατε, καὶ γὰρ κἀγὼ ἄνθρωπός εἰμι ὁμοιοπαθής σοι οἰκῶν ἐν τῇ ἐρήμῳ ταύτῃ διὰ τὸν Θεόν· ἐγὼ δὲ ἀκούσας ταῦτα, προθύμως κατελθών, ἔῤῥιψα ἐμαυτὸν ἐπὶ τὴν γῆν πρὸς τοὺς ποσὶν αὐτοῦ. Ὁ δὲ ἔφη μοι: Ἀνάστα υἱέ μου, καὶ σὺ γὰρ δοῦλος εἶ τοῦ Θεοῦ καὶ φίλος τῶν ἁγίων. Καὶ ἀναστάς, ἠξιώθην καθίσαι ἐναντίον αὐτοῦ, παρεκάλεσα δὲ αὐτὸν πολλάκις ὥστε εἰπεῖν μοι τὸ ὄνομα αὐτοῦ, καὶ εἶπέ μοι: Ὀνούφριος ὄνομά μοι, ἔχω δὲ ἔτη ἑξήκοντα ἐν τῇ ἐρήμῳ ταύτῃ. περιπατῶν ἐν τοῖς ὄρεσι τῆς ἐρήμου ταύτης καὶ τρεφόμενος ὡς ὁ Κύριος κελεύει, ἄνθρωπον παντελῶς ἐν σαρκὶ γνωριζόμενόν μοι οὐχ ἑωρακώς, εἰμὴ σὲ καὶ μόνον. Ὠκουν μὲν πρώην ἐν εὐκτηρίῳ Μοναστηρίῳ καλουμένῳ Ἐρίτι τοῦ Ἑρμολύτου νόμου τῆς Θηβαίων χώρας ὅπερ πληροῦται ὑπὸ ἀδελφῶν τὸν ἀριθμὸν ἑκατὸν ὁμοιοπίστων τε καὶ ὁμοψύχων, κοινῶς ἐσθιόντων πάντων ἐν ἀγάπῃ καὶ εἰρήνῃ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐν ἡσυχίᾳ μεγάλῃ ἀσκούντων καὶ δοξαζόντων τὴν αὐτοῦ ἀγαθότητα.

8. Ἔτι οὖν ἐν ἡλικίᾳ διάγων ἐκεῖ καὶ παιδευόμενος τὴν φιλοθεΐαν ὑπὸ τῶν ἁγίων πατέρων καὶ τὴν εἰλικρινῆ πίστιν, καὶ τὸν κανόνα τῆς εὐλαβείας διδασκόμενος, ἤκουσα τῶν ἁγίων πατέρων λεγόντων περὶ τοῦ θαυμαστοῦ καὶ θεοσεβοῦς Προφήτου Ἠλιοῦ, ὅπως ὑπὸ τοῦ Θεοῦ ἐνεδυναμώθη διὰ τῆς ὑπομονῆς καὶ ἐγκρατείας ἣν ἐν τῇ ἐρήμῳ ὑπήνεγκε· καὶ πάλιν περὶ τοῦ Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, καθ' ὃν οὐ γέγονέ τις ἀνθρώπων πώποτε, καὶ περὶ ὧν ὑπέστη ἐν τῇ ἐρήμῳ ἕως τῆς ἡμέρας τοῦ φανερωθῆναι αὐτὸν τῷ Ἰσραήλ. Καὶ ἐπυθόμην τῶν ἐν τῷ Μοναστηρίῳ ἁγίων πατέρων, λέγων. Τί οὖν: οἱ ἐν τῇ ἐρήμῳ οἰκοῦντες μείζονες ἡμῶν ὑπάρχουσιν; Οἱ δὲ εἶπον. Ναί· ἡμεῖς μὲν ἀλλήλους καθ' ἑκάστην ὁρῶμεν· καὶ κοινῶς τὰς συνάξεις ἡμῶν ἐπιτελοῦμεν μετ' εὐφροσύνης, ἡνίκα δὲ πεινάσωμεν, τὴν τροφὴν εὑρίσκομεν· ὁμοίως καὶ εἰ διψήσωμεν, ὕδωρ ἔχομεν· καὶ εἰ συμβῇ τινα ἡμῶν ἐν ἀδυναμίᾳ συλληφθῆναι, παραμυθεῖται ὑπὸ τῶν ἑτέρων διὰ τὸ κοινῶς διάγειν ἡμᾶς· εἰ δὲ καὶ βρώσιμόν τι ἐπιθυμήσωμεν, ἀλλήλοις τοῦτο διακονοῦμεν διὰ τὴν ἀγάπην τοῦ Θεοῦ· οἱ δὲ οἰκοῦντες ἐν τῇ ἐρήμῳ, τούτων πάντων ἐκτός εἰσι· πάθεν γὰρ αὐτοῖς ταῦτα: Εἰ δὲ καὶ θλῖψις αὐτοῖς ἐπέλθῃ ποτέ, ἢ πόλεμος ἐκ τῆς τοῦ ἀντικειμένου παγίδος, ποῦ εὑρήσωσιν ἄνθρωπον μεταβαλεῖν τὸν οἰονοῦν, ἢ παραμυθήσασθαι δυνάμενον; Ἢ καὶ τροφῆς λειπούσης αὐτοῖς, οὐκ εὔκολον μεταλαβεῖν ταύτης· ὡσαύτως καὶ τῆς δίψης αὐτοὺς καταλαβούσης, ὕδωρ οὐκ ἔστιν αὐτοῖς· τὸ δὲ μάλιστα, πλέον κοπιῶσιν, ἀδελφέ, οἱ τοιοῦτοι ὅτε τὴν ἔρημον καταλαβεῖν πρὸς οἴκησιν βούλονται, καὶ τὴν περὶ Θεὸν δουλείαν ἐπὶ πλέον ἀσπάζονται, καὶ τῇ ἀσκήσει ἑαυτοὺς παραδίδωσι τήν τε πεῖναν καὶ δίψαν ὑπενεγκεῖν προθυμούμενοι, καὶ τοὺς κρυπτομένους τοῦ μισοκάλου πολέμους νικῆσαι καταγωνιζόμενοι, καὶ πᾶσαν τὴν στενὴν ὁδὸν ἐν Κυρίῳ διώκοντες εἰς τὸ μηδαμῶς ἡττηθῆναι τῇ τοῦ ἀντικειμένου μανίᾳ· σπουδὴ γάρ ἐστιν αὐτῷ ἀεί, τοῖς ταῦτα ἐπιθυμοῦσι παρέμπτοδον γενέσθαι καὶ πειράζειν αὐτούς, ὅπως τοῦ ἀγαθοῦ ἀνακόψαι σκοποῦ καὶ μὴ ἐπιμεῖναι τῇ ἀσκήσει καὶ τῆς παρὰ τοῦ Θεοῦ τυχεῖν μεγαλοδωρεᾶς; ὅτε ἐκ τοῦ σώματος ἐξέρχονται. Ἐπειδὴ τοὺς ὑπομένοντας σωφρόνως ἐν τῇ ἀσκήσει, ἡ τοῦ ἀγαθοῦ Θεοῦ ἡμῶν καταλαμβάνει εὐσπλαγχνία πρὸς ἀνταπόδοσιν ὧν διὰ Θεὸν ὑπέμειναν, καὶ ὑπὸ τῶν ἁγίων Ἀγγέλων στελλομένων πρὸς αὐτούς, διακονοῦνται τήν τε τροφὴν αὐτῶν καὶ τὸ ὕδωρ ἐκ τῆς πέτρας, καθάπερ Ἡσαΐας διδάσκει ὁ Προφήτης, (λέγων) ὅτι, «οἱ ὑπομένοντες τὸν Κύριον ἀλλάττουσιν ἰσχύν, πτεροποιοῦνται ὡς ἀετοί, περιπατοῦσι καὶ οὐ πεινάσουσι». Καὶ πάλιν λέγει: ὅτι «ἐὰν διψήσωσι, φέρεται αὐτοῖς ὕδωρ ἐκ τῆς πέτρας» καὶ γίνονται αὐτοῖς τῆς ἐρήμου αἱ βοτάναι γλυκεῖαι ἐν τῷ στόματι ὑπὲρ μέλι, εἰ δὲ καὶ συμβῇ πόνον αὐτοῖς γενέσθαι, ἢ πόλεμον τοῦ ἀντικειμένου διαναστῆναι τὴν ὥραν καθ' ἣν τὰς χεῖρας ἐκτείνοντες τῷ Κυρίῳ προσεύχονται, παραχρῆμα ἐξ αὐτοῦ ἄνωθεν αὐτοῖς στέλλεται βοήθεια, καὶ σκορπίζονται καὶ διασκεδάζονται πάντες οἱ πειρασμοὶ ἀπ' αὐτῶν διὰ τὴν πρὸς τὸν Κύριον ὀρθότητα καὶ καθαρὰν καρδίαν αὐτῶν. Οὐκ ἤκουσταί σοι, τέκνον, τὰ ἐν τῇ Γραφῇ φερόμενα, ὅτι ὁ Θεὸς οὐκ ἐγκαταλείπει πτωχὸν εἰς αἰῶνας; «ἡ ὑπομονὴ τῶν πενήτων οὐκ ἀπολεῖται εἰς τέλος». Καὶ πάλιν, «εἰσακούσεται αὐτῶν ὁ Κύριος, καὶ λυτρώσεται αὐτοὺς ἐκ τῆς θλίψεως αὐτῶν»,

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἑκάστῳ γὰρ ὁ Θεὸς δίδωσι κατὰ τὸν κόπον ὃν ὑπέμεινε δι' αὐτόν. Μακάριος οὖν ἐστιν ὁ ποιῶν τὸ θέλημα τοῦ Θεοῦ ἐπὶ τῆς γῆς· οἱ Ἄγγελοι διακονοῦσιν αὐτῷ, καὶ ποιοῦσιν ἀγαλλιᾶσθαι αὐτὸν ἑκάστης ὥρας ἐν τῷ σώματι ὄντα.

9. Ταῦτα ὑπὸ τῶν ἁγίων πατέρων τῶν ἐν τῷ Μοναστηρίῳ διδαχθεὶς ἐγὼ ὁ ἐλάχιστος Ὀνούφριος, μέλιτος πλέον γλυκύτητος τὴν καρδίαν καὶ τὴν ψυχὴν πληρωθείς, μεγάλως ἠσθόμην ἑαυτῷ βοηθείας καὶ διορθώσεως, ὥστε ὡς ἐν ἄλλῳ τινὶ κόσμῳ τὸν ἐμὸν κατακλιθῆναι λογισμόν. Καὶ προθύμως ἀναστὰς ἐν νυκτί, ἔλαβον ὀλίγους ἄρτους ἀρκοῦντάς μοι πρὸς τροφὴν ἡμέρας τέσσαρας, σπουδάζων ὑπὸ Θεοῦ ὁδηγούμενος, κατὰ τὴν αὐτοῦ οἰκονομίαν, γνῶναι ἔνθα βούλεταί με οἰκεῖν. Ἐξερχόμενος δὲ ἐκ τοῦ Μοναστηρίου κατὰ τὴν νύκτα ἐκείνην, ἦλθον εἰς τὴν ὁδὸν τοῦ ὄρους εἰσελθεῖν ἐν τῇ ἐρήμῳ βουλόμενος, καὶ προσέσχον φῶς ἐνώπιόν μου· καὶ τοῦτο ἰδὼν ἐφοβήθην σφόδρα, ὥστε βουλεύσασθαι με ὑποστρέφειν καὶ τὸν τόπον καλαβεῖν ἐν ᾧ πρώην ἐτύγχανον, καὶ πάλιν κατὰ τὸ πρότερον οἰκεῖν. Ἀλλὰ τῆς περὶ τὰ μείζονα ἐν Κυρίῳ προκοπῆς, κατὰ τὴν αὐτοῦ πρόνοιαν, καὶ τοῦτο τεκμήριον γέγονέ μοι· ἰδοὺ γὰρ φοβηθέντος μου, ἔνδοξός τις παρίσταται ἐνώπιόν μου ὡς τοῦτο γνούς, ἐστράφη πρός με καὶ ἐγγίσας μοι ἔφη: Μὴ φοβηθῇς· ἐγὼ γάρ εἰμι ὁ Ἄγγελος ὁ συμπορευόμενός σοι ἐκ νέας σου ἡλικίας· ἡ γὰρ οἰκονομία αὕτη ἣν ἠξίωσέ σε ὁ Κύριος περιπατῆσαι, τελειοῦταί σοι. Καὶ ταῦτα λαλήσας μοι, περιεπάτησε μετ' ἐμοῦ καὶ ἦλθεν ἐν τῇ ἐρήμῳ ἄχρι μιλίων ὡσεὶ ἓξ ἢ ἑπτά· σπήλαιον δὲ σεμνὸν ἑωρακώς, γέγονα πλησίον αὐτοῦ, γνῶναι βουλόμενος εἰ ἔχῃ ἄνθρωπον ἐν αὐτῷ, καὶ φθάσας εἰς τὴν θύραν, ἔκραξα τό, κῦρι εὐλόγησον, κατὰ τὸ ἔθος τῶν φιλοχρίστων ἀδελφῶν. Καὶ εἶδον ἄνδρα γηράλιον, ὡραιότατον, καὶ ἁγιώτατον, καλὸν σφόδρα τῷ εἴδει, μεγάλης Θεοῦ χάριτος πεπληρωμένον τὸ πρόσωπον αὐτοῦ· θεασάμενος δὲ αὐτόν, ἔρριψα ἐμαυτὸν ἐπὶ τὴν γῆν παραχρῆμα εἰς τοὺς πόδας αὐτοῦ καὶ προσεκύνησα αὐτόν· αὐτὸς δὲ τῇ χειρὶ ἐγείρας με, ἠσπάσατο λέγων: σὺ εἶ ὁ ἀδελφὸς Ὀνούφριος ὁ συνεργός μου ἐν Κυρίῳ. Εἴσελθε τέκνον, ὁ Θεὸς συμπράξει σοι, καὶ διαμείνῃς ὡς ἐκλήθης, τὰ ἀγαθὰ πληρῶν ἔργα κατὰ τὸν αὐτοῦ φόβον. Εἰσελθὼν δὲ ἐκάθισα σὺν αὐτῷ ἐπὶ ὀλίγας ἡμέρας, σπουδάζων ὅσιον παρ' αὐτοῦ μαθεῖν ἔργον, ὅπερ καὶ γέγονε· τὰς γὰρ τῶν ἐρημιτῶν ἐδίδαξέ μοι πολιτείας. Αὐτὸς δὲ γνοὺς ὅτι τὸ πνεῦμά μου διέλαμψεν εἰς τὸ μαθεῖν τὸ ἀγαθὸν ἔργον τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τοῖς κρυπτομένοις ἀντιστῆναι πολέμοις τοῦ ἀντικειμένου, καὶ τὸν φόβον ὃν ἔχει ἡ ἔρημος, λέγει μοι : Ἀνάστηθι τέκνον· ἀπαγάγω σε εἰς ἕτερον σπήλαιον ἐν τῇ ἐσωτέρᾳ ἐρήμῳ, εἰς τὸ οἰκεῖν σε μόνον ἐν αὐτῷ καὶ κόπον ὑπομένειν· ἐπὶ τοῦτο γὰρ ἀπεστάλκέ σε ὁ Θεὸς ἐν τῇ οἰκονομίᾳ ταύτῃ, ἵνα τὴν ἐσωτέραν οἰκήσῃς ἔρημον. Ταῦτα δέ μοι συμβουλευσάμενος, ἐπορεύθημεν κατὰ τὴν ἐνδοτέραν ἔρημον ἡμέρας τέσσαρας, καὶ μετὰ ταῦτα ἐπέστημεν καλυβίῳ μικρῷ, οὗ ἦν πλησίον φοίνιξ· καὶ εἶπέ μοι ὁ ἁγιώτατος ἐκεῖνος ἀνήρ: Οὗτός ἐστιν ὁ τόπος ὁ κατ' οἰκονομίαν Θεοῦ πρὸς οἴκησιν εὐτρεπισθείς σοι. Ἔμεινεν οὖν σὺν ἐμοὶ ἐν αὐτῷ ἡμέρας τριάκοντα διδάσκων με τὰ καλὰ ἔργα· καὶ μετὰ τὰς τριάκοντα ἡμέρας συνταξάμενος, ἐπορεύθη ἀπ' ἐμοῦ. Καὶ ἐξ ἐκείνου, ἅπαξ καθ' ἕκαστον ἐνιαυτὸν ἀπηντῶμεν ἀλλήλοις, ἕως τῆς ἡμέρας ἐν ᾗ τοῦ σώματος ἐξῆλθε· καταλαβὼν δὲ αὐτὸν τοῦτον, κατεθέμην τὸ τίμιον λείψανον αὐτοῦ πλησίον τῆς ἐμῆς

οἰκήσεως.

10. Ὡς πάντα ταῦτα ἀφηγήσατό μοι, ἠρώτησα αὐτὸν ἐγὼ ὁ ἐλάχιστος Παφνούτιος, λέγων : Πάτερ ἀγαθέ, πολὺν κόπον ὑπέμεινας τὸ πρῴην ἡνίκα ἦλθες εἰς τὴν ἔρημον ταύτην; Καὶ λέγει μοι ὁ μακάριος Γέρων : Πίστευσον, ἀγαπητὲ ἀδελφέ, τοσοῦτον ὑπέστην κόπον, ὥστε ἀπελπίσαι με ἑαυτὸν πολλάκις μέχρι θανάτου· τῆς τε πείνης καὶ δίψης ἐπικειμένων μοι, ἅμα δὲ καὶ τοῦ καύσωνος τῆς ἡμέρας, καὶ τοῦ πάγους καὶ τοῦ ψυχροῦ ἀέρος τῆς νυκτὸς, καὶ ἐβάφη ἡ σάρξ μου ἐκ τῆς δρόσου τοῦ οὐρανοῦ. Ὁ δὲ ἀγαθὸς Θεὸς ἰδὼν ταῦτα ὑπενέγκαντά με, καὶ τὸν ἀγῶνα τῆς νηστείας, καὶ ὡς δέδωκα τὴν ψυχήν μου εἰς ἄσκησιν, ἐκέλευσε τὸν ἅγιον Ἄγγελον αὐτοῦ οἰκονομῆσαί με καὶ φέρειν πρός με τὴν καθημερινὴν τροφήν, καὶ ὕδωρ μέτριον πρὸς στηριγμὸν τοῦ σώματός μου· καὶ ἡ φοίνιξ αὕτη ἐκβάλλει μοι δεκαδύο σπάθας τοῦ ἔτους, ὡς εἶναι κατὰ μῆνα μίαν. Ταύτας ἐσθίοντός μου μετὰ καὶ τῶν βοτανῶν τῆς ἐρήμου, γίνεταί μοι, κατὰ τὴν τοῦ Θεοῦ οἰκονομίαν, γλυκεῖαι μέλιτος πλέον· γέγραπται γάρ, «οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος Θεοῦ» καὶ ἔξεις τὴν αὐτοῦ οἰκονομίαν· λέγει γὰρ ἐν τῷ ἁγίῳ αὐτοῦ Εὐαγγελίῳ, «μὴ μεριμνήσητε τί φάγητε, ἢ τί πίητε· ὁ γὰρ Κύριος καὶ πατὴρ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, οἶδε τίνος χρῄζετε. Ζητεῖτε δὲ πρῶτον τὴν βασιλείαν τοῦ Θεοῦ καὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν.»

11. Ταῦτα ἀκούσας παρὰ τοῦ μακαρίου Ὀνουφρίου, ἐθαύμασα καὶ εἶπον αὐτῷ : Πάτερ ἀγαθέ, πόθεν κοινωνεῖς, Σαββάτῳ ἢ Κυριακῇ; αὐτὸς δὲ ἀποκριθείς μοι, ἔφη: Ἄγγελος Κυρίου παραγίνεται πρός με ἀγαθὸς καὶ τῇ ἀχράντῳ διακονεῖ μοι Κοινωνίᾳ· οὐκ ἐμοὶ (δὲ) μόνον ταύτης μεταδιδούς, ἀλλὰ καὶ πᾶσι τοῖς ἐν τῇ ἐρήμῳ οἰκοῦσι διὰ Θεόν, τοῖς μὴ ὁρῶσιν ἄνθρωπον, καὶ εὐφροσύνης πληροῖ πάντας· ἐὰν δέ τις ἐξ αὐτῶν ἐπιθυμήσει ἄνθρωπον ἰδεῖν, ἀναλαμβάνει αὐτὸν εἰς τὸν οὐρανόν, εἰς τὸ θεωρῆσαι τοὺς ἁγίους καὶ ἀσπάσασθαι αὐτούς· καὶ λάμπει ἡ ψυχὴ αὐτοῦ ὡς τὸ φῶς, καὶ χαίρεται τῷ πνεύματι, καὶ σφόδρα εὐφραίνεται καὶ ἀγάλλεται τοῦ ἀγαθοῦ ἀξιούμενος τῶν μὴ λειπόντων εἰς τοὺς αἰῶνας, ὥστε αὐτὸν ἐπιλαθέσθαι τοῦ κόπου οὗ ἐν τῇ ἐρήμῳ ὑπέμεινε· μετὰ δὲ ταῦτα εἰς τὸν ἴδιον ὑποστρέφει τόπαν, καὶ μένει ἐν εὐφροσύνῃ ἐπὶ πολλοὺς ἀσκῶν χρόνους, λογιζόμενος εἰς ἕτερον μετεληλυθέναι κόσμον, τὴν μεγάλην ἐκείνην ἰδεῖν ἀξιωθεὶς δωρεάν, καὶ μηδαμῶς κόσμον εἶνε μεμνημένος.

12). Ταῦτα τοῦ ἁγίου πατρὸς Ὀνουφρίου ἀφηγησαμένου μοι ὑποκάτω τοῦ πτερυγίου τοῦ Ὄρους, ἔνθα ὑπήντησα αὐτῷ· πάσης δὲ πληρωθεὶς χαρᾶς, λήθην ἔλαβον τῶν κόπων τῶν συμβεβηκότων μοι πορευομένου ἐν τοῖς ὄρεσι τῆς ἐρήμου, τήν τε πεῖναν καὶ δίψαν μηδὲ ὅλως ἐνώπιόν μου λογισάμενος· καὶ ἰσχὺν ἔν τε τῷ πνεύματι καὶ τῷ σώματί μου λαβών, καὶ ἀγαλλιάσεως πλησθεὶς εἶπον αὐτῷ ; Μακάριός εἰμι ἀξιωθεὶς ἰδεῖν σε ἁγιώτατε πάτερ, καὶ ἀκοῦσαι τῶν καλῶν καὶ γλυκυτάτων σου λόγων πρὸς πᾶσαν ὄντως μοι εὐεργεσίαν· αὐτὸς δὲ ἀποκριθεὶς ἔφη μοι : Ἀνάστα ἄρτι ἀδελφὲ καὶ ἀπέλθωμεν ἅμα· οὐ διέλιπον δὲ (ἐγὼ) ξενιζόμενος καὶ θαυμάζων τὴν χάριν τοῦ ὁσίου πατρὸς ἡμῶν Ὀνουφρίου. Εἶτα προκόψαντες δύο ἢ τρία μίλια, κατελάβομεν καλύβιον σεμνότατον ἔχον φοίνικα πλησίον ἑστῶτα· καὶ αὐτὸς δὲ ἐπιστὰς τῷ τόπῳ, ηὔξατο σὺν ἐμοί. Πληρώσας δὲ τὴν εὐχήν, εἶπε τό, Ἀμήν· καὶ μετὰ ταῦτα καθεσθέντες ἐμείναμεν, τὰ ἀγαθὰ Κυρίου ἐξηγούμενοι ἀλλήλοις· τῆς δὲ ἡμέρας τελειουμένης περὶ δυσμὰς ἡλίου, ἐώ-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ρακα ἐν μέσῳ τοῦ καλυβίου ἐκείνου ἄρτον κείμενον καὶ ὕδωρ μικρόν. Λέγει δέ μοι ὁ μακάριος ἐκεῖνος ἀνήρ : Ἔγειρε τέκνον μετάλαβε ὀλίγου ἄρτου καὶ ὕδατος ἐνώτιόν σου ὄντων· ὁρῶ γάρ σε κινδυνεύοντα ἐκ τῆς πείνης καὶ δίψης καὶ τοῦ κόπου τῆς ὁδοῦ· ἐγὼ δὲ εἶπον αὐτῷ : Ζῇ ὁ Σωτήρ μου Κύριος, οὐ μὴ φάγω, οὐδ' οὐ μὴ πίω, εἰ μὴ βάλλωμεν τὰς χεῖρας ἡμῶν κοινῶς καὶ γευσώμεθα. Πολλὰ οὖν παρακαλέσας αὐτόν, μόλις ἴσχυσα πεῖσαι αὐτὸν σὺν ἐμοὶ τὴν χεῖρα ἐπιβάλαι. Καὶ κλάσαντες τὸν ἄρτον τοῦ γεύσασθαι, ἐκορέσθημεν, ἐξ αὐτοῦ· ἐπερίσσευσε δὲ ἡμῖν ἐκ τοῦ ἄρτου. Καὶ ἐμείναμεν τὴν νύκτα ἐκείνην προσευχόμενοι· πρωΐας δὲ γενομένης, εἶδον αὐτόν, μετὰ τὴν ἑωθινὴν εὐχήν, ἀλλάξαντα τὴν τοῦ προσώπου θεωρίαν καὶ τὴν χροιάν, καὶ ἐφοβήθην· αὐτὸς δὲ γνοὺς τοῦτο, εἶπε πρός με : Μὴ φοβηθεὶς ἀδελφὲ Παφνούτιε· ὁ γὰρ περὶ πάντα εὔσπλαγχνος Θεός, ἀπέσταλκέ σε πρός με, ἵνα φροντίσῃς τῆς ταφῆς τοῦ λειψάνου μου· ἰδοὺ (γὰρ) τῇ σήμερον ἡμέρᾳ τελειῶ τὴν οἰκονομίαν μου, καὶ ἀπέρχομαι εἰς τὴν ἀναπαυσίν μου ἕως τοῦ αἰῶνος· ἔστι δὲ ἡ ἡμέρα αὕτη παρὰ Ῥωμαίοις δωδεκάτη τοῦ Ἰουνίου μηνός. Παρήγγειλε δέ μοι καὶ τοῦτο : Ἐὰν ἐξέλθῃς ἐν Αἰγύπτῳ ἀδελφὲ Παφνούτιε, κήρυξον (τὸ) μνημόσυνόν μου εἰς θυμίαμα ἐν μέσῳ τῶν ἀδελφῶν καὶ πάντων τῶν Χριστιανῶν. Ἐὰν γάρ τις προσφορὰν εἰς ὄνομά μου καὶ μνημόσυνον προσαγάγῃ Κυρίῳ τῷ Θεῷ ἡμῶν ἐν παντὶ τόπῳ, φέρει αὐτὸν ὁ Κύριος εἰς τὴν πρώτην ὥραν τῶν ἕνδεκα ἐτῶν(;)· τοῦτο γάρ ἐστι τὸ αἴτημά μου ὃ ᾐτησάμην αὐτόν. Καὶ εἴτις θρέψει ἀδελφὸν πτωχὸν εἰς ὄνομά μου, μνησθῶ αὐτοῦ, ἵνα ἀξιώσῃ αὐτὸν ὁ Κύριος εἰς τὴν πρώτην ὥραν τῶν ἕνδεκα ἐτῶν ἐλθεῖν. Ἐγὼ δὲ ἀποκριθεὶς εἶπον αὐτῷ: Ἐὰν δὲ πένης ἐστὶ μὴ δυναμενος προσκομίσαι τι, ἢ θρέψαι ἀδελφὸν εἰς μνημόσυνόν σου, ὁ τοιοῦτος εἰς τὴν πρώτην ὥραν τῶν ἕνδεκα ἐτῶν οὐκ ἔρχεται; Ὁ δὲ εἶπεν : Εἰ ὀλίγον θυμίαμα ἐξ ὀνόματός μου εἰς ὀσμὴν εὐωδίας τῷ Κυρίῳ προσαγάγῃ, τῆς ὁμοίας ἀξιοῦται χαρᾶς. Τολμήσας δὲ καὶ τοῦτο εἶπον αὐτῷ : Ἐὰν δὲ μὴ εὑρίσκῃ τις θυμίαμα ἐν ἐρήμῳ διάγων, καθάπερ καὶ σύ, ἢ μὴ εὑρήσῃ τι προσενέγκαι, οὐ φέρεται εἰς τὴν ὥραν τῶν ἕνδεκα ἐτῶν; μᾶλλον πάτερ φθάσει πρὸς ἡμᾶς πάντας ἡ εὐχὴ τῆς δικαιοσύνης σου· εἶτι γὰρ αἰτήσῃ τὸν Κύριον. δίδοταί σοι, καὶ οὐχ ὑστερεῖται τὸ αἴτημά σου, διὰ τὴν ἄσκησίν σου δουλείαν τὴν ἐπὶ τοὺς ἑξήκοντα χρόνους οὓς ἐποίησας ἐν τῇ ἐρήμῳ ταύτῃ διατελῶν τὸν Κύριον. Ὁ δὲ ἀποκριθεὶς εἶπέ μοι : Ἐὰν τις ἔστι πένης ἐν τῇ ἐρήμῳ οἰκῶν, καὶ οὐ δύναται ποιῆσαι προσφοράν, ἢ θυμίαμα βαλεῖν, ἀναστὰς ὁ τοιοῦτος, λεγέτω : Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, καὶ τὰ λοιπὰ ἕως τοῦ Ἀμὴν ἐξ ὀνόματός μου τῷ Κυρίῳ προσενέγκει· κἀγὼ μνησθήσομαι πρὸς τὸν Θεόν, καὶ εὔξομαι ἀξιωθῆναι αὐτὸν εἰς τὴν πρώτην ὥραν τῶν ἕνδεκα ἐτῶν, μετὰ πάντων τῶν δικαίων τὸν μισθὸν κληρονομῆσαι.

13). Ἐγὼ δὲ πάλιν εἶπον αὐτῷ: Πάτερ ἀγαθέ, εἰ ἄξιός εἰμι, σπουδή μοι ἐστὶν οἰκῆσαι εἰς τὸν τόπον τοῦτον μετὰ τοῦ ἐκ τοῦ σώματός σου ἐξελθεῖν σε. Αὐτὸς δὲ ἔφη μοι : Τέκνον, οὐκ ἦλθες εἰς τὴν οἰκονομίαν ταύτην, ἀλλ' ὁ Θεὸς ἀπέσταλκέ σε, ἵνα τοὺς ἁγίους αὐτοῦ χαροποιήσῃς τοὺς οἰκοῦντας ἐν τῇ ἐρήμῳ, καὶ κηρύξῃς τὴν εὐωδίαν τῆς πολιτείας αὐτῶν ἐν μέσῳ τῶν εὐσεβῶν ἀδελφῶν, εἰς κέρδος καὶ δόξαν τῶν ἀκουόντων καὶ πιστευόντων. Ἀπελθε οὖν τέκνον εἰς Αἴγυπτον καὶ μένε εἰς τέλος ἐν τοῖς ἀγαθοῖς ἔργοις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, κηρύττων πᾶσιν ἃ ἐωρακας καὶ ἐώρακας ἐν τῇ ἐρήμῳ.

14). Ταῦτα εἰπόντος τοῦ τιμίου τούτου

καὶ ἱεροῦ Ὀνουφρίου, ἔπεσα εἰς τὸ ἔδαφος πρὸς τοὺς ποσὶν αὐτοῦ λέγων : Εὐλόγησόν με ἅγιε πάτερ, ἵνα εὕρω ἔλεος ἐνώπιον τοῦ Θεοῦ· καὶ ὡς ἠξίωσέ με ὁ Σωτὴρ ἡμῶν ἐν τῷ κόσμῳ τούτῳ προσκυνῆσαί σε, πάλιν εἰς τὸν μέλλοντα αὐτοῦ αἰῶνα, κελεύσει αὐτοῦ, ἀξιωθῆναί με· αὐτὸς δὲ ἔφη πρός με : Τέκνον Παφνούτιε, ὁ Κύριος οὐ μὴ λυπήσῃ σε περὶ οὗ αἰτῆσαι· εὐλογήσει δέ σε καὶ στηρίξει εἰς τὴν ἀγάπην αὐτοῦ καὶ λυτρώσηταί σε ἐκ παντὸς πτώματος καὶ τῶν δεσμῶν τοῦ ἀντικειμένου, καὶ τελειώσει ἐν σοὶ τὸ ἔργον ὃ ἐπεχείρησας· σκεπάσουσί σε δὲ οἱ Ἄγγελοι αὐτοῦ καὶ φυλάξουσιν ἀπὸ τῆς ἐπιβουλῆς τοῦ ἐχθροῦ, καὶ μὴ εὑρήσουσι κατηγορῆσαί σου τι ἐν τῇ φοβερᾷ ὥρᾳ τῆς παραστάσεως τοῦ Θεοῦ, ᾧ μέλλεις τὴν ἀπολογίαν σου διδόναι. Καὶ μετὰ ταῦτα ἀναστὰς πάλιν, ἠύξατο πρὸς τὸν Θεὸν μετὰ δακρύων καὶ στεναγμῶν πολλῶν· καὶ μετ' ὀλίγον κατ' αὐτὴν τὴν ὥραν ῥίψας ἑαυτὸν ἐπὶ τῆς γῆς, ἐτελειώθη ἐν Κυρίῳ, παραδοὺς τὸ πνεῦμα ἐν χειρὶ Θεοῦ μετ' εὐφροσύνης. Παραχρῆμα δὲ ἠκουσα φωνῆς Ἀγγέλων μεγάλης ὑμνούντων τὸν Θεὸν ἔμπροσθεν τῆς ψυχῆς τοῦ μακαρίου καὶ ἁγίου Ὀνουφρίου. Καὶ ἦν χαρὰ μεγάλη κατὰ τὴν ὥραν τῆς πρὸς Θεὸν ἀπαντήσεως αὐτοῦ. Καὶ ἀποδυσάμενος ἐγὼ τὸ λεβιτωνάριον ὃ ἐφόρουν, καὶ λύσας τὰ πλάγια αὐτοῦ, διεμέρισα αὐτὸ εἰς δύο· καὶ τὸ μὲν ἥμισυ, τῷ σώματι αὐτοῦ τρόπῳ κηδείας ἐσκέπασα· τὸ δὲ ἕτερον ἥμισυ, ἐφόρεσα ὅπως μὴ μείνω γυμνός, καὶ εὑρὼν πέτραν ἐπίκοιλον ὡσεὶ λάκκον, κατεθέμην τὸ σῶμα αὐτοῦ ἐκεῖσε. Καὶ συναγαγὼν λίθους πολλούς, ἐσκέπασα τὸ λείψανον αὐτοῦ· ἀναστὰς δὲ ἠὐξάμην ἵνα μείνω ἐκεῖ. Καὶ εἶδον πάραυτα τὸ καλύβιον αὐτοῦ συμπεπτωκός, καὶ τὸν φοίνικα δι' οὗ ἐτρέφετο, καὶ αὐτὸν ὁμοίως συμπεπτωκότα. Καὶ τοῦτο διὰ τάχους συμβὰν θεασάμενος, ἔγνων ἐκ τούτου μὴ εἶναι θέλημα Θεοῦ οἰκεῖσαί με εἰς τὸν τόπον ἐκεῖνον, (καὶ) ἔφαγον τὸ περισσεῦσαν τοῦ ἄρτου, καὶ τὸ ὕδωρ ὁμοίως ἔπιον· ἐκτείνας δὲ πάλιν τὰς χεῖρας εἰς τὸν οὐρανόν, προσηυξάμην. Καὶ εἶδον ἐλθόντα πρὸς με τὸν ἄνδρα ἐκεῖνον ὃν πρῶτον ἑώρακα ἐν τῇ ἐρήμῳ πορευόμενος, καὶ ἐνδυναμώσας με, ἐπορεύετο ἔμπροσθέν μου.

15). Ἐξελθόντος μου ἐκεῖθεν, καὶ λυπουμένου διὰ τὸν μακάριον πατέρα Ὀνούφριον, πάλιν ἐν τῇ ψυχῇ γέγονέ μοι χαρά, ὅτι ἐκ τοῦ ἁγίου στόματος αὐτοῦ εὐλογηθῆναι ἠξιώθην. Καὶ περιπατήσας ἡμέρας τέσσαρας, ἔφθασα ἐπάνω Κελλίου κεκτισμένου ὄντος ἐπὶ ὕψους· καὶ εἰσελθὼν ἐν αὐτῷ, οὐχ εὗρον ἄνθρωπον καὶ ἐκαθέσθην μικρὸν ἐνθυμούμενος, καὶ εἶπον ἐν ἑαυτῷ : Ἆρα ἔστι τις ἐν τῷ σπηλαίῳ τούτῳ ἐν ᾧ ἤγαγέ με ὁ Θεός; Ὅθεν ταῦτα λογιζομένου μου, εἰσῆλθεν ἀνὴρ ἅγιος πεπληρωμένος πολιῶν, οὗ τὸ εἶδος θαυμαστὸν καὶ εὐπρεπὲς περιβεβλημένος ἔνδυμα διὸ βαΐων πεπλεγμένον καὶ σκέπον τὸ σῶμα αὐτοῦ. Αὐτὸς δὲ ἑωρακώς με, παρευθὺς λέγει μοι : Σὺ εἶ ὁ ἀδελφὸς Παφνούτιος. ὁ σκεπάσας τὸ σῶμα τοῦ ὁσίου πατρὸς ἡμῶν Ὀνουφρίου; ἐγὼ δὲ γνοὺς ἐν ὀπτασίᾳ τὸ γεγονὸς μεμαθηκέναι αὐτόν, προσέπεσα αὐτῷ παραχρῆμα· καὶ αὐτὸς παρακληθείς, ἔφη μοι : Ἀνάστα ἀδελφέ· ὁ Θεὸς ἠξίωσέ σε φίλον τῶν ἁγίων αὐτοῦ γενέσθαι· ἤδη γὰρ ἐδιδάχθην παρὰ τῆς αὐτοῦ οἰκονομίας, τὴν πρός με κατὰ τὴν σήμερον ἔλευσίν σου· φανερώσω δέ σοι, ἀδελφὲ ἀγαπητέ, ὅτι ἑξήκοντα ἔτη ἔχω ἐν τῇ ἐρήμῳ ταύτῃ, ἄνθρωπον οὐκ εἰδὼς ἐλθόντα πρός με, εἰμὴ μόνον τοὺς σὺν ἐμοὶ ἐνταῦθα κατοικοῦντας ἀδελφούς. Ἡμῶν δὲ μεταξὺ λαλούντων εἰσῆλθον τρεῖς ἄλλοι ὡς ἅγιοι γηράλιοι πατέρες ἐν τῷ Κελλίῳ ἐκείνῳ· καὶ ἀποκριθέντες παρευθὺς εἶπόν μοι : Εὐλόγησον ἀ-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

δελφέ· σὺ εἶ ὁ ἀδελφὸς Παφνούτιος ὁ συνεργὸς ἡμῶν ἐν Κυρίου, ὁ σκεπάσας τὸ σῶμα τοῦ ἁγίου Ὀνουφρίου; συγχώρησον ἀδελφέ, μεγάλην δύναμιν γνῶναι ἠξιώθης· ἰδοὺ γὰρ ὁ Κύριος ἐγνώρισεν ἡμῖν, ὅτι παραγίνῃ σήμερον πρὸς ἡμᾶς, καὶ ἐκέλευσέ σε μεῖνε μεθ' ἡμῶν μίαν ἡμέραν. Ἑξήκοντα γὰρ ἔτη οἰκοῦμεν τὴν ἔρημον ταύτην μὴ θεασάμενοι ἄνθρωπον, πλὴν σοῦ μόνου καὶ ἑαυτούς.

16. Ὁμιλούντων ἡμῶν τὰ περὶ τοῦ πατρὸς Ὀνουφρίου καὶ ἑτέρων ἁγίων, μετὰ δύο ὥρας εἶπόν μοι: Ἔγειρε ἀδελφέ, μετάλαβε ἄρτου μικροῦ καὶ στήριξον τὴν καρδίαν σου, ἐπειδὴ πόρρωθεν παραγέγονας, καὶ σπουδή ἐστιν ἡμῖν συγχαρῆναί σοι. Ὡς οὖν ἤγειράν με, ηὐξάμεθα ὁμοθυμαδὸν πρὸς τὸν Θεόν· καὶ ἰδοὺ ἑωράκαμεν ἐνώπιον ἡμῶν πέντε ἄρτους θερμοὺς ὡς παρευθὺς ὀπτηθέντας, αὐτοὶ δὲ ἤγαγον καὶ ἕτερόν τι βρώσιμον εἶδος, ὅπερ σὺν τοῖς ἄρτοις μετελάβομεν, καὶ καθεσθέντες, ἐγευσάμεθα ἀμφότεροι. Καὶ πάλιν εἶπόν μοι: Ἰδοὺ σήμερον, ὡς προεῖπόμέν σοι, ἑξηκονταετῆ χρόνον ἔχομεν ἐν τῇ ἐρήμῳ ταύτῃ, καὶ τέσσαρες ἄρτοι φέρονται ἡμῖν καθ' ἡμέραν ἐκ τοῦ οὐρανοῦ, κελεύσει Θεοῦ, νῦν δὲ γενομένου σου πρὸς ἡμᾶς, ἰδοὺ καὶ ὁ ἀριθμὸς τῶν ἄρτων, καὶ ὑπὲρ σοῦ ἐπέμφθη ἡμῖν, καὶ οὐ γινώσκομεν πόθεν φέρονται, ἀλλ' εἰσερχόμενοι καθ' ἡμέραν ἐν τῷ σπηλαίῳ, εὑρίσκομεν αὐτοὺς ἡτοιμασμένους καθ' ἑαυτούς. Μετὰ δὲ τὸ γεύσασθαι ἡμᾶς μετ' ἀλλήλων, ἐποιήσαμεν τὴν νύκτα ἐκείνην προσευχόμενοι καὶ μεγάλην ἐπιτελοῦντες σύναξιν· ἐπέκειτο δὲ ἡ ἁγία τῆς Κυριακῆς ἡμέρα. Πρωΐας δὲ γενομένης, παρεκάλεσα αὐτοὺς ὅπως μείνω σὺν αὐτοῖς ἐν τῷ σπηλαίῳ αὐτῶν ἄχρι τῆς τελευτῆς μου. Καὶ αὐτοὶ ἀποκριθέντες. εἶπόν μοι: Οὐκ ἔστι θέλημα Θεοῦ οἰκῆσαί σε ἐν τῇ ἐρήμῳ ταύτῃ μεθ' ἡμῶν, ἀλλ' ἐγερθείς, ἔξελθε εἰς Αἴγυπτον, καὶ διήγησε φιλοχρίστοις ἀδελφοῖς πάντα ὅσα εἶδες, εἰς μνημόσυνον ἡμῶν καὶ εἰς κέρδος καὶ ὠφέλειαν τῶν ἀκουόντων. Ταῦτα αὐτῶν εἰρηκότων μοι, παρεκάλεσα αὐτοὺς σφόδρα, ὥστε γνωρίσαι μοι τὰ ὀνόματα αὐτῶν, αὐτοὶ δὲ οὐκ ἠνέσχοντο τοῦτο εἰπεῖν μοι, ἀλλ' ἢ μόνον τοῦτο εἶπον: Ὁ πάντα γινώσκων, αὐτὸς ἐπίσταται τὰ ὀνόματα ἡμῶν. Μνημόνευε δὲ ἡμῶν ἀδελφέ, ἵνα ἀξιωθῶμεν ἀλλήλους θεάσασθαι εἰς τὸν οἶκον τοῦ Θεοῦ. Σπούδασον οὖν, τέκνον ἀγαπητόν, ἐκφυγεῖν τοὺς πειρασμοὺς τοῦ κόσμου εἰς τὸ μὴ ἐμπικιχθῆναί σε ὑπ' αὐτῶν, ἐπειδὴ πολλοὺς ἐχλεύασεν. Ταῦτα ἀκούσας παρ' αὐτῶν, προσέπεσον αὐτοῖς, καὶ εὐλογηθεὶς παρ' αὐτῶν, ἐξῆλθον ἐν εἰρήνῃ, ἦσαν δὲ προειρηκότες μοι καὶ ἕτερα τινά, ἅπερ καὶ γεγόνασί μοι.

17. Ἐξελθὼν δὲ τοίνυν ἀπ' αὐτῶν, ἐπορεύθην κατὰ τὴν ἔρημον τὴν ἐνδοτέραν ἐπὶ ἡμέραν μίαν· καὶ φθάσας σπήλαιον πηγῆς ὕδατος, ἐκάθισα ἐκεῖ εἰς τὸ ἀναπαύσασθαί με μικρὸν ἐκ τοῦ κόπου τῆς ὁδοῦ· ἦν δὲ ἐπιτήδειος ὁ τόπος ἔχων δένδρα πολλὰ περὶ τὴν πηγὴν ἐκείνην καρπῶν πεπληρωμένα· ἀναπαυθεὶς δὲ μικρὸν καὶ ἐγερθείς, περιῆλθον ἐν μέσῳ τῶν δένδρων, θαυμάζων τὸ πλῆθος τῶν καρπῶν αὐτῶν καὶ λογιζόμενος, τίς ἄρα ὁ φυτεύσας εἰς τὸν τόπον ἐκεῖνον· ἦσαν δὲ τῶν δένδρων ἐκείνων οἱ καρποὶ φοίνικες, κίτραι, ῥόαι, συκάμινα, ζιζυφα καὶ ἀμπελῶνες, πάντα πεπληρωμένα, καὶ ἕτερα τερπνὰ καὶ καρποφόρα δένδρα, ὧν ἡ γεῦσις γλυκεῖα ὑπὲρ μέλι. Πρὸς δὲ τούτοις, καὶ μυρσίναι καὶ ἄλλα διάφορα δένδρα πλήρη εὐωδίας ὁσμὴν παρέχοντα. Καὶ ἡ πηγὴ ἐκείνη βρύουσα ἀφ' ἑαυτῆς ὕδωρ, καὶ πάντα ἐκεῖνα ποτίζουσα τὰ δένδρα, ὥστε ἐννοεῖν με τὸν Παράδεισον εἶναι τοῦ Θεοῦ. Ὡς οὖν ἐθαύμαζον τὴν θεωρίαν ταύτην,

εἶδον τέσσαρας νεωτέρους, ἱλαροὺς καὶ σφόδρα εὐειδεῖς, ἐρχομένους ἀπὸ μακρόθεν πρός με, περιεζωσμένους δέρματα προβάτων, πλησιάσαντας καὶ λέγοντας: Χαῖρε ἀδελφὲ Παφνούτιε, ἐγὼ δὲ ῥίψας ἑαυτὸν ἐν τῇ γῇ ἐπὶ πρόσωπον, προσεκύνησα αὐτούς. Καὶ ἐγείραντές με, ἐκάθισαν σὺν ἐμοὶ καὶ ἐλαλήσαμεν μετ' ἀλλήλων, ἦσαν δὲ ἔνδοξοι, ὥστε νομίζειν με αὐτοὺς Ἀγγέλους εἶναι καὶ ἐξ οὐρανοῦ αὐτοὺς κατεληλυθέναι, οἵτινες σφόδρα συνεχάρησάν μοι, καὶ ἐκ τῶν καρπῶν τῶν δένδρων ἐπάραντες, μετέδωκάν μοι εἰς βρῶσιν· καὶ ηὐφράνθη ἡ καρδία μου ἐν τῷ ἀγαπᾶσθαί με παρ' αὐτῶν. Καὶ ἐποίησα ἑπτὰ ἡμέρας σὺν αὐτοῖς ἐν τῷ τόπῳ ἐκείνῳ ἐσθίων ἐκ τῶν καρπῶν τῶν δένδρων· ἠρώτησα δὲ αὐτούς: Πῶς ἤλθατε ἐνταῦθα, καὶ πόθεν ἐστέ; αὐτοὶ δὲ ἀποκριθέντες εἶπον: Ἀδελφέ, ἐπειδὴ ὁ Θεὸς ἀπέσταλκέ σε πρὸς ἡμᾶς, πάντα τὸν ἡμέτερον ἀφηγούμεθά σοι βίον. Ἡμεῖς ἀπὸ πόλεώς ἐσμεν τῆς λεγομένης Ὀξυρύγχου· καὶ οἱ γονεῖς ἡμῶν βουλευταί εἰσι τῆς πόλεως ἐκείνης· περὶ δὲ τὴν τῶν γραμμάτων ἐκείνων παιδείαν ὑπ' αὐτῶν φροντιζόμενοι, ἐν μιᾷ παραδοθέντες διατριβῇ, τὰ μὲν πεζὰ μεμαθήκαμεν γράμματα· ἐναρξάμενοι δὲ καὶ τῆς ἀνωτέρας παιδείας, εἰς μίαν συνήλθομεν γνώμην, τοῦ Κυρίου πρὸς τὸ κρεῖττον συνεργοῦντος ἡμῖν, καὶ ἐβουλευσάμεθα μαθεῖν καὶ τὴν αὐτοῦ σοφίαν. Ἐξ ἐκείνου τοίνυν, ἑκάστης ἡμέρας περὶ τούτου ἀλλήλους ἐν προθυμίᾳ διεγείροντες, καὶ σκοπὸν ἔχοντες ἀγαθὸν ἐν ταῖς καρδίαις ἡμῶν, ἐπορεύθημεν εἰς τὴν ἔρημον σπουδάζοντες εὑρεῖν καὶ ἡσυχάσαι πρὸς ὀλίγας ἡμέρας, ἕως ἂν γνῶμεν εἰς ἡμᾶς τὴν ἐκ Θεοῦ οἰκονομίαν. Λαβόντες δὲ ὀλίγους ἄρτους μεθ' ἑαυτῶν καὶ ὕδωρ μέτριον πρὸς τροφὴν ἡμῶν ἄχρις ἡμερῶν ἑπτά, καὶ φθάσαντες ἔνδον τῆς ἐρήμου, ἐν ἐκστάσει γεγάναμεν, καὶ ἐθεασάμεθα ἄνδρα ἔνδοξον ἐνώπιον ἡμῶν, ὃς κρατήσας τῆς χειρὸς ἡμῶν, ἐν τῷδε τῷ τόπῳ εἰσήγαγε, καὶ παρέδωκεν ἡμᾶς ἀνδρὶ πάνυ γεγηρακότι δουλεύοντι τῷ Κυρίῳ· καὶ ἰδοὺ ἑξαετῆ χρόνον ἔχομεν ἐλθόντες ἐνταῦθα, ἐμείναμεν δὲ μετ' αὐτοῦ ἄχρις ἐνιαυτοῦ ἑνός, διδασκόμενοι παρ' αὐτοῦ ὅπως τῷ Κυρίῳ δουλεύσωμεν. Πληρωθέντος δὲ τοῦ ἔτους ἐκείνου, ἐτελειώθη οὗτος ὁ ἅγιος πατήρ· καὶ ἐξ ἐκείνου μόνοι ἐσμὲν ἐνταῦθα. Ἰδοὺ δὲ ἀδελφὲ ἑξαετῆ χρόνον, ὡς εἰπομέν σοι, διάγομεν ἐν τῷ τόπῳ τούτῳ, καὶ οὐκ ἔγνωμεν γεῦσιν ἄρτου, ἢ ἑτέρας τροφῆς μετελάβομεν, εἰμὴ μόνον ἐκ τῶν καρπῶν τῶν δένδρων τούτων. καὶ ἑκάστης ἑβδομάδος ἅπαξ ἀλλήλους ὁρῶμεν· ἐν τούτῳ γὰρ τῷ τόπῳ εὑρισκόμεθα, καὶ ἀλλήλους ἀπαντῶμεν ἔν τε Σαββάτῳ καὶ Κυριακῇ· μετὰ δὲ τὰς δύο ταύτας ἡμέρας, ἕκαστος ἡμῶν εἰς τὸν ἴδιον παραγίνεται τόπον καὶ διάγει ἐν αὐτῷ.

18. Ταῦτα τοίνυν ἀκούσας παρ' αὐτῶν, ἐπερώτησα αὐτούς: Πόθεν κοινωνεῖτε ἔν τε τῷ Σαββάτῳ καὶ τῇ ἁγίᾳ Κυριακῇ; ἀποκριθέντες δὲ εἶπον: Διὰ τοῦτο συναγόμεθα ἐν Σαββάτῳ καὶ Κυριακῇ. Ἄγγελος γὰρ φωτός, παρὰ Θεοῦ στελλόμενος, γίνεται πρὸς ἡμᾶς καὶ μεταδιδωσιν ἡμῖν τὴν ἁγίαν Κοινωνίαν· σφόδρα δὲ ἐχάρην ἐγὼ ἀκούσας τοῦτο. Καὶ ἐν τῇ ἑβδόμῃ ἡμέρᾳ, ἔτι ἐκεῖσε ὄντος μου, Σαββάτου καταλαβόντος, λέγουσί μοι: Εὐτρεπίσθητι ἀδελφὲ ἀγαπητὲ καὶ αὐτός, ἐπειδὴ τῇ ἡμέρᾳ ταύτῃ ἔρχεται ὁ Ἄγγελος τοῦ Θεοῦ μεταδιδοὺς ἡμῖν τὴν ἄχραντον Κοινωνίαν· ὁ γὰρ δεχόμενος ἐκ τῆς χειρὸς αὐτοῦ, φυλάττεται καὶ ἀφέωνται αὐτοῦ αἱ ἁμαρτίαι πᾶσαι, καὶ οὐ δυνατόν ἐστι πειρασθῆναι αὐτὸν ἐκ τῆς τοῦ ἐχθροῦ ἐνεργείας. Ἔτι δὲ αὐτῶν ταῦτα λαλούντων μοι, ἠσθόμεθα ὁσμὴν θυμιάματος καὶ εὐωδίας πολλῆς, ὥστε θαυμάζειν με μηδέποτε τοιαύτης αἰσθόμενον πνοῆς. Καὶ παραχρῆμα ἐγερθέντες, μέχρι

Athos Library
Αγιορειτική Βιβλιοθήκη

τῆς ὥρας ἐκείνης ἐμείναμεν ψάλλοντες καὶ ὑμνοῦντες τὸν Βασιλέα Χριστόν. Καὶ ἰδοὺ Ἄγγελος Κυρίου ἦλθε πρὸς ἡμᾶς, καὶ ἠξιώθημεν δέξασθαι παρ' αὐτοῦ τὴν ἁγίαν Κοινωνίαν τοῦ τε Σώματος καὶ Αἵματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Μεταλαβὼν δὲ τῆς χάριτος, καὶ σύμφοβος γενόμενος, ἔμεινα ὡς ὕπνῳ κατεχόμενος· καὶ μετὰ τὴν ἁγίαν Κοινωνίαν εὐλογηθέντες παρὰ τοῦ Ἀγγέλου, αὐτὸς μὲν ἐνώπιον ἡμῶν ἀνῆλθεν εἰς τοὺς οὐρανούς· εἶπον δέ μοι ἐκεῖνοι: Ἀνάστα ἀδελφὲ δυναμώθητι. Ἐσπέρας δὲ καταλαβούσης, μόλις ἠδυνήθην διϋπνισθεὶς ἐγερθῆναι ὑπὸ τῆς ὀσμῆς τοῦ θυμιάματος καὶ τοῦ φόβου συνεχόμενος.

19. Διετελέσαμεν δὲ πάλιν ὅλην τὴν νύκτα ψάλλοντες καὶ εὐλογοῦντες τὸν Θεόν, ἕως Ὄθρου, ἐπέφωσκε γὰρ ἡ Κυριακή· τῆς δὲ ἡμέρας ἐκείνης διαφαυούσης, πάλιν αἰσθόμεθα τὴν ὀσμὴν τοῦ θυμιάματος πρὸς ἡμᾶς ἐρχομένην, καὶ ἐπληρώθημεν εὐφρασίας ἐξ αὐτοῦ ὡς μὴ ὄντες ὅλως ἐν κόσμῳ, ἀλλ' ἐν τῷ αἰωνίῳ φωτί. Εἶτα παραγενόμενος ὁ Ἄγγελος τοῦ Θεοῦ ὡς τὸ πρῶτον, δέδωκεν αὐτοῖς τὴν ἁγίαν Κοινωνίαν, ἐγὼ δὲ ἐνδυναμωθεὶς τὴν καρδίαν, πάλιν ἐδεξάμην τὴν φοβερὰν δύναμιν ἐκ τῶν χειρῶν αὐτοῦ. Καὶ εὐλόγησεν ἕκαστον ἡμῶν λέγων: Γένοιτο ἐν ὑμῖν τὸ Σῶμα τοῦτο καὶ τὸ Αἷμα τοῦ Δεσπότου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ Θεοῦ, τροφὴ ἄφθαρτος καὶ ζωὴ αἰώνιος Καὶ ἀποκριθέντες μετὰ φόβου, εἴπομεν τό, Ἀμήν, ἦν δὲ χαρὰ μεγάλη ἐν ταῖς καρδίαις ἡμῶν ἀξιωθέντων τοιαύτης δόξης. Καὶ μετὰ ταῦτα ὑποστρέψας ὁ Ἄγγελος ἔφη πρός με: Πορεύου ἀπὸ τῆς ἐρήμου ταύτης ἔξω τῆς Αἰγύπτου, καὶ δίδαξον ταῦτα πάντα ἃ ἑώρακας, τοῖς φιλοχρίστοις ἀδελφοῖς, ἵνα καὶ αὐτοὶ σπουδάσωσι τὴν καλὴν πολιτείαν ἀναλαβεῖν, ἐξαιρέτως δὲ κήρυξον πᾶσι τὰ κελευσθέντα σοι ὑπὸ τοῦ ἁγίου Ὀνουφρίου, οὗ ἠξιώθης ὑπὸ Κυρίου προσκυνῆσαι ἐπὶ τῆς γῆς, καὶ θάψαι τὸ σῶμα αὐτοῦ ἐν τῇ πέτρᾳ, ἰδοὺ γὰρ καὶ αὐτὸς ἐκλήθης παρὰ τοῦ Θεοῦ, καὶ εὐλογεῖ σε ὡς ἕνα τῶν ἁγίων τῶν ἐπὶ τῆς γῆς συναριθμήσασθαι αὐτοῖς. Ἠτησάμην δὲ αὐτοὺς ἵνα συγχωρήσωσί μοι οἰκῆσαι μετ' αὐτῶν ἕως τῆς ἐμῆς τελευτῆς. Καὶ αὐτὸς ἀποκριθεὶς εἶπέ μοι: Ὡς ἤρεσε τῷ Θεῷ, οὕτως ἐπέτρεψεν ἑκάστῳ μένειν· καὶ γὰρ πᾶσαι αἱ πράξεις αἱ παρὰ Κυρίου, δεκταὶ καὶ καλαί εἰσι, καὶ πάντες εἰσέρχονται εἰς τὸν οἶκον τοῦ Θεοῦ, καὶ αὐτὸς ἑκατονταπλασίονα δίδωσι, καθὼς δύνασαι βαστάσαι. Πορεύου οὖν ἐν Αἰγύπτῳ, ἐπειδὴ οὕτω ἐκέλευσέ μοι ὁ Κύριος ἀποστεῖλαί σε.

20. Ταῦτα εἰρηκὼς ὁ Ἄγγελος, καὶ εὐλογήσας ἡμᾶς ἀνῆλθεν εἰς τὸν οὐρανόν, ὁρώντων ἡμῶν αὐτῶν τοῖς ἰδίοις ὀφθαλμοῖς· αὐτοὶ δὲ πάλιν ἤγαγον ὁπώρας, καὶ κοινωνήσαντες, τούτων μετελάβομεν. Καὶ οὕτως ἐξελθόντος μου, κατηντήσαμεν ἀπὸ τῆς ἐρήμου ἄχρι μιλίων πέντε, συνταττόμενος δὲ αὐτοῖς. παρεκάλεσα αὐτοὺς εἰπεῖν μοι τὰ ὀνόματα αὐτῶν. Καὶ ὁ μὲν πρῶτος, ἔφη Ἰωννᾶς, ὁ δὲ δεύτερος, Ἀνδρέας, ὁ τρίτος, Ἡρακλαίμων, ὁ τέταρτος, Θεόφιλος, παραγγείλαντές μοι εἰπεῖν τὰ ὀνόματα αὐτῶν τοῖς ἀδελφοῖς εἰς μνημόσυνον αὐτῶν· κἀγὼ παρεκάλεσα αὐτοὺς μέμνησθαί μου. Καὶ ἐξελθὼν ἀπ' αὐτῶν, ἐπορεύθην λυπούμενος, πάλιν δὲ χαρὰν μεγάλην εἶχον, θαυμάζων καὶ μεμνημένος ὧν ἔτυχον εὐλογιῶν παρὰ τῶν ὁσίων ἐρημιτῶν καὶ τοῦ Ἀγγέλου. Καὶ ἐξελθὼν ἐν Αἰγύπτῳ ὁδοιπορῶν ἐπὶ ἡμέρας τρεῖς, εὗρον δύο ἀδελφοὺς φοβουμένους τὸν Θεόν, καὶ ἀνεπαύθην ἐν τῷ οἴκῳ αὐτῶν ἐπὶ ἡμέρας δέκα, ἀναγγέλλων αὐτοῖς ἃ εἶδον καὶ ὅσα γεγόνασί μοι. Εἶπον δέ μοι ἐκεῖνοι μετ' εὐφροσύνης πολλῆς: Ἀληθῶς ἀδελφὲ Παφνούτιε, ἠξιώθης μεγάλους καὶ τελείους δούλους τοῦ Θεοῦ ἰδεῖν. Ἐκεῖνοι δὲ οἱ ἀδελφοὶ φιλάνθρωποι καὶ φιλόξενοι, ἦσαν ἀσκηταὶ φοβούμενοι τὸν Θεὸν ἐξ ὅλης ψυχῆς, ὀνομάζεται δὲ ὁ τόπος αὐτῶν Σκῆτις. Ἀκούσαντες δὲ ἅπερ ἐξηγησάμην αὐτοῖς, σπουδαίως ἔγραψαν ταῦτα· καὶ σπουδαίως δραμόντες, περιήρχοντο πᾶσαν τὴν Σκῆτιν, ἐπιφερόμενοι τὴν βίβλον ἣν συνέταξαν διὰ τῆς ἐξηγήσεώς μου. Καὶ μετὰ τὸ ἀναγνῶναι αὐτὰ τοῖς ἁγίοις πατράσιν, ἔλαβον αὐτὸ εἰς τὴν Ἐκκλησίαν, ὅπερ καὶ κατέλιπον κέρδος καὶ εἰς εὐφροσύνην τοῖς πιστεύουσι καὶ ἀκούουσιν αὐτοῦ· καθ' ἣν γὰρ ὥραν ἠβουλήθησαν μελετῆσαι αὐτό, ἐπὶ πλεῖον ηὐλόγουν τὸν Θεὸν καὶ τοὺς ἁγίους αὐτοῦ. Ἔστω δὲ ἡ χάρις καὶ ἡ εἰρήνη τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μεθ' ἡμῶν, πρεσβείαις τῶν εὐχρεστησάντων αὐτῷ ἁγίων καὶ ὁσίων πατέρων ἡμῶν, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἕως ὧδέ εἰσι λόγοι τοῦ μακαρίτου Παφνουτίου, ὅστις ἐπιστρέψας εἰς τὴν ἑαυτοῦ κέλλαν καὶ ζήσας ἐν αὐτῇ ὀλίγον καιρόν, εἶδεν Ἄγγελον Κυρίου ἐλθόντα καὶ εἰπόντα αὐτῷ: Ἐλθὲ δοῦλε τοῦ Θεοῦ εἰς τὰς αἰωνίους σκηνὰς ἵνα ἀγάλλησαι μετὰ τῶν δικαίων καὶ πάντων τῶν τῷ Θεῷ εὐαρεστησάντων· ταῦτα δὲ ἀκούσας, ηὐχαρίστησε τῷ Κυρίῳ, καὶ οὕτως ἀπῆλθε πρὸς τὸν ποθούμενον Χριστόν. ὯΙ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν·

ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ

Τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν

ΠΕΤΡΟΥ ΤΟΥ ΑΘΩΝΙΤΟΥ

(Λαυρεωτ. Χαρτ. κῶδιξ Ε 60 φύλ. 30 α. — φύλ. 56 β.)

Εὐλόγησον πάτερ

1. Τὸ τοὺς τῶν ἁγίων βίους, καὶ τὴν αὐτῶν θεοφιλῆ πολιτείαν ἐγγράφως ἐκτίθεσθαι, καὶ τοῖς μετέπειτα πρὸς ὠφέλειαν καὶ ζῆλον ὅμοιον παραδιδόναι, καλὸν καὶ λίαν ἐπωφελὲς καὶ θεάρεστον· τοῖς τε γὰρ ἀκούουσιν ὄνησις οὐχ ἡ τυχοῦσα γίνεται, καὶ τῷ γράφοντι μισθὸς ἀπὸ τῆς ὠφελείας τῶν ἀκουόντων. Ὅθεν κἀγὼ πατρικῇ πεισθεὶς ἐντολῇ κελευούσῃ, τὸν τοῦ μακαριωτάτου πατρὸς ἡμῶν Πέτρου βίον ἀνάγραπτον γενέσθαι, τοῦ ἐν τῷ Ἄθῳ Ὄρει ἀγγελικῶς πολιτευσαμένου, καὶ ἀσάρκως, ἵν' οὕτως εἴπω, βεβιωκότος, δίκαιον ἔκρινα, ἀπ' αὐτοῦ τοῦ εἰς αὐτὸν γενομένου θαύματος παρὰ τοῦ τρισμάκαρος πατρὸς ἡμῶν Νικολάου ἀπάρξασθαι, καὶ οὕτω καθ' εἱρμὸν καὶ ἀκολουθίαν τὸν ἄλλον αὐτοῦ διασαφῆσαι βίον. Τὰ δὲ τοῦ θαύματος τοῦτον ἔχει τὸν τρόπον, ὡς αὐτὸς ὁ μέγας πατὴρ ἡμῶν Μεθόδιος ὁ Πατάρων Ἐπίσκοπος συνεγράψατο. μοναχοί, φησί, τινες τῶν ἐγκρίτων καὶ πάντα Θεῷ ἐπιτηδευόμενοι ἀρέσκειν, μετὰ τῶν ἄλλων καλῶν καὶ τῇ ἀληθείᾳ στοιχειούμενοι, τοῦτό μοι γεγενῆσθαι ὑπὸ Νικολάου τοῦ παμμάκαρος νεωστὶ τὸ θαῦμα διηγόρευσαν.

2. Πέτρος, ὁ ἐν μακαρίᾳ τῇ μνήμῃ, μοναχὸς ἀπὸ Σχολαρίων (*) γενόμενος, τοιούτῳ τρόπῳ μονάσαι διεβεβαιώσατο. Ὄντος γὰρ αὐτοῦ ἐν τῇ πέμπτῃ Σχολῇ, καὶ μετὰ στρατοπέδων διαφόρων ἐπὶ Συρίαν ἀποσταλέντος πρὸς πόλεμον, ἔτυχεν, οἷα πολλάκις φιλεῖ ἐν ἀνθρώποις γίνε-

(*) Σχολάριος=Στρατιώτης τῶν ταγμάτων τῆς Ἀνατολικῆς φρουρᾶς παρὰ Βυζαντινοῖς.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

σθαι, τῶν Βαρβάρων ἐπικρατεστέρων ὀφθέντων, τραπῆναι μὲν τοὺς Ῥωμαίους ἐν τῷ πολέμῳ, ζωγρηθῆναι δὲ παρ' αὐτῶν πλείστους· μεθ' ὧν καὶ οὗτος ὁ Πέτρος αἰχμαλωτισθείς, εἰς τὸν λεγόμενον Σαμαρᾶν ἀποστέλλεται· (Κάστρον δὲ τοῦτό ἐστι τοῖς ἄραψιν ὀχυρώτατον καὶ πολυάνθρωπον), ἀποδοθῆναί τε τῷ τούτων ἀρχηγῷ τοῦ πολέμου ὡς ἄρπαγμα. Ἐπειδὴ ἐκεῖνος ὁ δυσσεβὴς εἰς δημοσίαν φυλακὴν αὐτὸν ἐναπέθετο, καὶ τοὺς πόδας αὐτοῦ ἐν σιδήροις βαρυτάτοις κατησφαλίσατο, σωφρονέστερος ὥσπερ τῶν οἰκείων γενόμενος ἐξεταστής, καὶ γνοὺς ὡς ἄρα διὰ τοῦτο εἰς προνομὴν καὶ δουλείαν ἀπεδόθη, (διότι πολλάκις εὐξάμενος τῷ Θεῷ γενέσθαι μοναχὸς καὶ τοῖς τοῦ κόσμου ἀποτάξασθαι πράγμασιν, εἰς πέρας ἀγαγεῖν τὰ τῆς εὐχῆς ἀνεβάλλετο·) ἐποτνιᾶτο, ἤσχαλλεν, ἐδυσχέραινεν, ἑαυτὸν τῆς βραδυτῆτος κατεμέμφετο· καὶ δὴ ὡς ἄξια παθών, εὐχαρίστως ὑπέφερε τὰ γενόμενα. Ὡς δὲ χρόνος αὐτῷ παρῳχήκει ἐν τῇ φρουρᾷ πλεῖστος, καὶ οὐδεμία ἀφορμὴ σωτηρίας ἐπρομηθεύετο, ἐκ πολλῆς συνηθείας τῶν τοῦ ἁγίου Νικολάου θαυμάτων προϋπάρχων, καὶ ἅμα τοῦτον ἐν τοῖς θλιβεροῖς ἀρωγὸν ἐπιβοᾶσθαι μεμελετηκώς, τῇ ἐξ ἔθους παῤῥησίᾳ χρησάμενος: Ἐγώ, φησιν, ἅγιε Νικόλαε, οἶδα ὡς ἀνάξιός εἰμι πάσης σωτηρίας· πυλλάκις γὰρ μονάσαι τῷ Θεῷ ὑποσχόμενος, μὴ περατώσας δὲ ὅπερ ηὐξάμην τῷ Πλάσαντι, δικαίως καὶ τῆς ἐνθάδε ζοφώδους καθείρξεως ἔτυχον. Διά τοι τοῦτο, πρὸς αὐτὸν μὲν τὴν ἱκεσίαν τῆς ἀπολυτρώσεως, οὐ τολμῶ ποιήσασθαι, σοὶ δὲ ὡς συνήθως ἔχοντι τὰ τῶν ἐν ἀνάγκαις προσοικειοῦσθαι βάρη καὶ ταῖς δεήσεσι τῶν θλιβομένων προσεπικάμπτεσθαι, θαῤῥῶν προσφεύγω, καὶ σὲ μεσίτην πρὸς αὐτὸν καὶ ἐγγυητὴν προβάλλομαι, ὡς ἄρα διὰ σοῦ, τῇ ἐκείνου ἐπινεύσει, τῶν ὧδε δεσμῶν ἀπολυτρούμενος, οὐκέτι τοῖς κοσμικοῖς θορύβοις ἐπιμενῶ, οὐδὲ τῇ οἰκείᾳ πατρίδι ἐμαυτὸν ἐγκατοικήσω, ἀλλ' ἐπὶ Ῥώμην πορεύσομαι, καὶ ἐν τῷ τοῦ Κορυφαίου Πέτρου σηκῷ διατελέσω τὸν ἅπαντά μου τῆς ζωῆς χρόνον, μοναστὴς ἀντὶ κοσμικοῦ δεικνύμενος, καὶ εὐαρεστεῖν Θεῷ, ὅση δύναμις, ἐπιτηδευόμενος.

3. Ταῦτα καὶ τὰ τούτων πλείονα λέγων ὁ ἀνήρ, καὶ ἅμα νηστείαις ἑαυτὸν ἐπιδιδοὺς καὶ δεήσεσιν, ἑβδομάδα ἡμερῶν ἄσιτος διετέλεσε, περὶ δὲ τὸ τῆς ἑβδομάδος τέλος, ὀπτάνεται αὐτῷ ὁ ταχὺς τῶν ἐπικαλουμένων αὐτὸν ἐπίκουρος, ὁ θερμὸς προστάτης καὶ μέγας Νικόλαος, καὶ φησὶ πρὸς αὐτόν: Καὶ τῆς δεήσεώς σου, ἀδελφέ Πέτρε, ἐπήκουσα, καὶ τὸν στεναγμὸν τῆς καρδίας σου ἠκροασάμην, καὶ τὸν εὔσπλαγχνον Θεὸν ὑπὲρ σοῦ ἐλιπάρησα. Ἀλλ' ἐπείπερ αὐτὸς βραδὺς τῶν αὐτοῦ ἐντολῶν ἐκπληρωτὴς καθέστηκας, γνῶθι ἀδελφέ, ὡς οὐ βούλεταί σε τῶν δεσμῶν ἀναθεῖναι, κρεῖττον ἢ καθ' ἡμᾶς τὴν σωτηρίαν σου προμηθούμενος· ὅμως δ' οὖν, ἐπείπερ αὐτοῦ ἐστιν ἐντολὴ τό, «αἰτεῖτε καὶ δοθήσεται, κρούετε καὶ ἀνοιγήσεται ὑμῖν», μὴ ἐκκακήσωμεν τὴν αὐτοῦ ἱκετεύειν ἀγαθότητα καὶ φιλανθρωπίαν, καὶ ὅπερ οἶδε συμφέρον, τοῦτο πάντως καὶ οἰκονομήσει εἰς ἡμᾶς.

4. Ταῦτα εἰπὼν ὁ ἅγιος Νικόλαος, καὶ ἐγκαρτερεῖν αὐτὸν ἐγκελευσάμενος, γεύσασθαί τε τροφῆς προτρεψάμενος, ἀπ' αὐτοῦ ἀνεχώρησε. Τοῦ δὲ Πέτρου τότε μὲν μεταλαβόντος τροφῆς, ἔπειτα δὲ καὶ αὖθις ἑαυτὸν εἰς ἱκεσίαν μετὰ νηστείας ἐπιτείναντος, φαίνεται αὐτῷ ἐκ δευτέρου ὁ ἅγιος Νικόλαος σκυθρωπῷ τινι βλέμματι, ὡς δῆθεν ὑπὲρ αὐτοῦ ἱκετεύων καὶ παρακουόμενος· καὶ λέγει αὐτῷ ὑφειμένῃ τῇ φωνῇ: Ἐγὼ μὲν ἀδελφὲ πίστευσον, οὐκ ἐπαυσάμην περὶ σοῦ τὴν τοῦ Θεοῦ

ἀγαθότητα καὶ φιλανθρωπίαν ἐκβιαζόμενος, ἀλλ' οὐκ οἶδα οἷς τισι κρίμασιν, ἢ ποίᾳ οἰκονομίᾳ, τὴν ἀπολύτρωσιν ὑμῖν ἀναβάλλεται. Πλὴν ἐπειδήπερ εἴωθεν ὁ πολυεύσπλαγχνος τὴν ἀναβολὴν πρὸς τὸ συμφέρον ἡμῶν πραγματεύεσθαι, ἵνα μὴ ταχέως λαμβάνοντες, καταφρονῶμεν ῥᾳδίως τῆς χάριτος· θέλει δὲ ἴσως καὶ παρ' ἑτέρων ὑπὲρ σοῦ ἀξιωθῆναι τῶν εὐαρεστησάντων αὐτῷ, ἐγώ σοι πρὸς αὐτὸν ὑποδείξω πρεσβευτὴν ἀξιώτατον. Λάβωμεν οὖν αὐτὸν συνήγορον ἀμφότεροι, μόνον ἐπὶ ἀψευδέσι τοῖς πράγμασι, καὶ οἶδα ὡς ἐπινεύσει Θεός, δοθῆναι ἡμῖν τὰ πρὸς σωτηρίαν αἰτήματα. Τοῦ δὲ εἰρηκότος: Καὶ τίς εἴη ἄρα ἅγιε Δέσποτα ὁ πλέον σοῦ τὸ θεῖον ἱλασθησόμενος; σοῦ γὰρ ταῖς πρεσβείαις καὶ ταῖς προστασίαις, ὁ κόσμος ἅπας περισώζεται. Ὑποφθάσας αὐτῷ ὁ μέγας ἔφη Νικόλαος: Οἶδας Συμεὼν τὸν Δίκαιον, ὃς ἐν χερσὶ τὸν Κύριον τεσσαρακονθήμερον προσδεξάμενος, ἐν τῷ Ναῷ εἰσεκόμισεν; Οἶδά, φησιν, ἅγιε τοῦ Θεοῦ, καὶ οὐκ ἀγνοῶ τὸν ἄνδρα· τοῖς γὰρ ἁγίοις Εὐαγγελίοις ἐστὶν ἀνάγραπτος, Ὁ δὲ φιλανθρωπότατος Νικόλαος, τοῦτον, ἔφη, ἀμφότεροι εἰς πρεσβείαν κινήσωμεν, δύναται γάρ, ὡς τῷ Θρόνῳ τῷ Δεσποτικῷ μετὰ τοῦ Προδρόμου καὶ τῆς Θεοτόκου ἀεὶ παριστάμενος, καὶ πάντως τὰ ἀπέραντα ἡμῖν, πέρας αἴσιον ἀπολήψονται. Ὡς δὲ ταῦτα εἰπὼν ὁ ἅγιος Νικόλαος, ἀπηλλάττετο.

5. Διϋπνισθεὶς οὖν ὁ ἀνήρ, πάλιν ἑαυτὸν ταῖς ἱκεσίαις καὶ νηστείαις ἐκδεδωκώς, τὰς Νικολάου πρεσβείας ἐπικαλεῖσθαι οὐκ ἀπέλιπε. Καὶ θέα μοι ἐνταῦθα τὴν τοῦ Ἁγίου συμπάθειαν, πῶς τὸν ἱκέτην ἀποθεραπεῦσαι βουλόμενος καὶ τῶν αἰτήσεων αὐτῷ προμηθεύσασθαι τὸ συμπέρασμα, οὐ κατώκνησεν εἰς τοῦτο συμπρεσβευτὴν καὶ Συμεὼν παραλαβεῖν τὸν δικαιότατον, μεθ' οὗ παραστὰς τῇ τρίτῃ ἐπιφορᾷ τῆς ἀποκαλύψεως, ὅτε δὴ καὶ τὴν λύσιν αὐτῷ τῶν λυπηρῶν ἐχαρίσατο: Θάρσει, ἔφη, ἀδελφὲ Πέτρε, καὶ τῆς ἀθυμίας τὸ πολὺ ἀποσκευασάμενος, τῷ κοινῷ μεσίτῃ καὶ συμπρεσβευτῇ Συμεὼν τὰ τῆς αἰτήσεως ἐπιθάῤῥησον. Τούτου δὲ τοὺς ὀφθαλμοὺς ἀνατείναντος, καὶ τὸν μέγαν Συμεὼν περισκοπήσαντος, ἐντρόμου τε ὅλου γενομένου τῷ δέει τῆς ὁράσεως, ὁ δίκαιος αὐτῷ παραστὰς Συμεὼν ῥάβδον χρυσῆν μεταχειριζόμενος, ἐφούδ τε καὶ κίδαριν καὶ ἐπωμίδα περιβεβλημένος, τοιούτοις πρὸς αὐτὸν ἀπεχρήσατο ῥήμασιν: Αὐτός, φησίν, ὑπάρχεις ὁ τῷ ἀδελφῷ Νικολάῳ ἐνοχλῶν καὶ συνεχῶς δεόμενος, ἀναθεῖναί σε τῆς περιεχούσης σε θλίψεως, καὶ τῆς ἐνταῦθα φρουρᾶς, καὶ τῶν σιδηρῶν τούτων δεσμῶν; ὁ δὲ μόλις τοῦ στόματος αὐτοῦ ἀνοιγέντος: Ναί, φησιν, ἅγιε τοῦ Θεοῦ, ἐγώ εἰμι ὁ ταπεινός, ὃς ἐγγυητὴν αὐτὸν εἰς Θεόν, καὶ τὴν σὴν ἁγιωσύνην μεσίτην καὶ πρεσβευτὴν προβαλλόμενος: Καὶ φυλάττεις, φησίν, ἀπὸ τοῦ νῦν ἀσφαλῶς ἅπερ αὐτῷ καθωμολόγησας, μοναχὸς γενόμενος, καὶ ἐναρέτως βιοῦν ἀπὸ τοῦ παρόντος διεγειρόμενος; Ναί, φησιν, ὑποφθάσας ὁ ἱκέτης ἀντέφησε. Καὶ ὁ δίκαιος Συμεών: Ἐπειδήπερ, φησίν, ἐμμένειν οἷς ὡμολόγησας διαβεβαιοῖς, ἔξελθε ἀκωλύτως τῶν ἐνταῦθα, καὶ ὅπου βούλει βάδιζε· οὐδὲν γάρ σε τοῦ λοιποῦ τῶν δοκούντων κωλυτικῶν ἐμποδίσαι ἢ παρακατασχεῖν δυνήσεται. Τοῦ δὲ Πέτρου τοὺς πόδας τοῖς σιδήροις καθηλωμένους ὑποδείξαντος, ἐκτείνας τὴν ἐν τῇ χειρὶ ῥάβδον ὁ ἅγιος Συμεών, τῶν τε σιδήρων ἐφαψάμενος, ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός, οὕτως αὐτὰ διαλύσας, παραχρῆμα ἠφάνισεν.

6. Εἶτα ἐξελθὼν τοῦ δεσμωτηρίου ὁ δίκαιος Συμεών, καὶ συνακολουθῶν αὐτῷ ὁ Πέτρος ἅμα Νικολάῳ τῷ θεομάκα-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ρι, τὴν πορείαν ἔξω τῆς πόλεως εὑρέθη ποιούμενος· γνωρίσας δὲ τῷ Πέτρῳ, ὡς οὐκ ἐνύπνιον τὸ ὁρώμενον; (ὀνειρεύεσθαι γὰρ αὐτὸς ἐδόκει τῷ παραδόξῳ τοῦ πράγματος·) τῷ μεγάλῳ Νικολάῳ ἐπιμελεῖσθαι αὐτοῦ ἐπειπών, αὐτὸς μὲν ἠφαντώθη ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν· ἔμεινε δὲ μόνος ὁ ἄνθρωπος τῷ κηδεμόνι τῆς αὐτοῦ σωτηρίας Νικολάῳ παρομαρτῶν καὶ προσανακείμενος. Ὁ δὲ μέγας Νικόλαος τὰ πρὸς σιτισμόν, αὐτῷ ἄρασθαι διεκελεύετο· τοῦ δὲ εἰπόντος, μηδὲν ἔχειν ὃ διατραφήσεται, ὁ τοῦ Κυρίου γνήσιος θεράπων Νικόλαος, θαρρεῖν αὐτῷ τοῦ λοιποῦ διακελευσάμενος, εἰσελθεῖν ἐν ἑνὶ τῶν ἐκεῖσε κήπων παρεγγυήσατο, κἀκεῖθεν ὅσα βούλοιτο τῶν ὀπωρῶν ἑαυτῷ ἀποκομίσασθαι. Οὗπερ γενομένου, καὶ τοῦ ἀνθρώπου εἰς διατροφὴν εὐπορήσαντος, οὐκ ἐπαύσατο ὁ μέγας χειραγωγῶν αὐτὸν Νικόλαος, ἕως εἰς Ρουμανίαν ἀβλαβῆ διεκόμισεν. Ἐπεὶ δὲ τῆς γραικῶν ἐπέβη γῆς ὁ ἀνήρ, ὁ μὲν ἅγιος εὐθὺς αὐτοῦ ἀπηλλάττετο, τοῦτο μόνον πρὸς αὐτὸν εἰπών : Καιρός σοι ἀδελφὲ Πέτρε τὰς συνθήκας ἐκπληρῶσαι ταχύτατα· εἰ δὲ μή, πάλιν τῷ Σαμαρᾷ ἀποκομίζῃ ὡς δέσμιος. Ὁ δὲ (Πέτρος), ἅμα μὲν καὶ τῆς προτέρας ἀναβολῆς δεδιὼς τὸ ἐπιτίμιον, ἅμα δὲ καὶ τὸν ἅγιον θεραπεύειν ἐκμηχανώμενος, οὐδὲ ἐν τῷ οἰκείῳ οἴκῳ ἀπελθών, οὐδὲ μὴν τοῖς ἰδίοις ἢ γνωρίμοις ἑαυτὸν φανερώσας, ὡς ἂν μὴ ὑπ' αὐτῶν τῆς σπουδῆς ἀναχαιτισθῇ, τάχους ὡς εἶχε πρὸς Ῥώμην ἠπείγετο, ἀποδοῦναι τῷ Κυρίῳ τὰς εὐχάς, μετ' ἐξομολογήσεως, ἃς διέστειλε τὰ χείλη αὐτοῦ. Καὶ σκόπει μοι ἐνταῦθα, ὦ φιλότης, τοῦ παμμάκαρος Νικολάου κηδεμονίας τὸ ἀσύγκριτον πῶς ὥσπερ πατὴρ φιλόστοργος καὶ συμπαθής, ἢ ὥσπερ παιδαγωγὸς ἄριστος, τῷ αὐτῷ προσανεσχηκότι συμπαρομαρτεῖ, οὕτως αὐτῷ συνωδειπόρει, ἐπηκολούθει, προέτρεχε, τὰ ἔμπροσθεν προωμάλιζε, τὰ ὄπισθεν ἐπερρώννυε, κατευοδῶν ἐν ἅπασι· καὶ οὐκ ἀπέστη τούτου, ἕως ἂν αὐτὸν τῷ Θεῷ προσῆξεν, ὡς ἐπεχείρησεν.

7. Ἄρτι γὰρ τότε τῇ Ῥώμῃ ἐγγίζοντος τοῦ ἀνθρώπου καὶ τὸν τόπον ἀγνοοῦντος, ἀγνοουμένου δὲ καὶ αὐτοῦ, τῷ τηνικαῦτα τῆς Ῥωμαίων Ἐκκλησίας προεδρεύοντι ὁ μέγας αὐτὸν κατάδηλον καὶ ἐμφανῆ πορίστησι Νικόλαος· νύκτωρ τῷ Πάπᾳ ἐπιστάς, τὸν ἄνδρα ἐπὶ χεῖρας κρατῶν, αὐτῷ τοῦτον ὑπεδείκνυεν· ὅπως μὲν αὐτόν, ἐκ τοῦ Σαμαρᾶ ἀνερρύσατο· καὶ ὅπως εὐχὴν ἔχῃ ἐν τῷ τοῦ Κορυφαίου τῶν Ἀποστόλων ἀποκείρασθαι σηκῷ καθ' ἑξῆς ἐκδιηγούμενος, γνωρίσας αὐτῷ ἅμα καὶ τὸ τοῦ ἀνθρώπου ὄνομα, Πέτρον προσαγορεύσθαι εἰπών, σπεύδειν τε ἐν τῷ αὐτῷ Πάπᾳ ὑποθέμενος, ὡς ἂν τάχιον τὰ τῆς εὐχῆς περατώσειε. Διϋπνισθεὶς οὖν ὁ Πάπας, καὶ πρὸς τὸ τοῦ Κορυφαίου τέμενος ἀπιών, (ἦν γὰρ Κυριακὴ τῶν ἡμερῶν), πάντας περιεσκόπει, καὶ τῶν προσαπαντώντων κατενόει τὰ πρόσωπα, εἴ ἄρα τὸν δειχθέντα αὐτῷ καθ' ὕπνους ἀναγνωριεῖ καὶ θεάσηται. Καὶ δὴ τὸ πλῆθος προσανεσχηκὼς τοῦ λαοῦ, ὁρᾷ τὸν ἄνθρωπον μέσον τῶν ἄλλων ἱστάμενον· νεύμασι δὲ ἅπαξ καὶ δὶς τοῦτον προσκαλεσάμενος, ὡς εἰδε μὴ ὑπακούοντα, ἐξ ὀνόματος αὐτὸν ἐπιβοᾶν ἐπεχείρησε : Πέτρε, λέγων, ὁ ἀπὸ Γραικίας ἐληλυθώς, οὐκ αὐτὸς εἶ ὃν ὁ μέγας Νικόλαος ἐκ τοῦ Σαμαρᾶ τῶν δεσμῶν καὶ τῆς φυλακῆς ἀπελυτρώσατο; Τοῦ δὲ ἑαυτὸν εἶνε ὁμολογήσαντος, καὶ τῷ παραδόξῳ θαμβηθέντος τοῦ ἀκούσματος, ὁ Πάπας αὐτῷ ἀπεκρίνατο : Μηδὲν θαυμάσῃς ἀδελφὲ Πέτρε, λέγων, ὅτι ἐξ ὀνόματός σε ἐκάλεσα ὃν οὐδέποτε τεθέαμαι· ὁ γὰρ πολὺς καὶ μέγας Νικόλαος νύκτωρ μοι ἐπιστάς, ἅπαντα τὰ κατὰ σὲ ἐνεφάνισε, καὶ ὡς ἥκεις ἀποθριξόμενος ἀποπληρώσων.

8. Ταῦτα εἰπὼν ὁ Πάπας, καὶ τὸν ἄνδρα ἀποκείρας, Θεῷ τοῦτον ὡς ἡ ὑπόσχεσις, καθιέρωσε· καὶ ποιήσας χρόνον οὐκ ὀλίγον μετ' αὐτοῦ ὁ τοῦ Θεοῦ ἄνθρωπος, κατηχηθεὶς παρ' αὐτοῦ τὰ πρὸς σωτηρίαν ψυχῆς καὶ ὠφέλειαν συντείνοντα, ἀνεχώρησεν ἐν εἰρήνῃ τῆς Ῥώμης, εἰρηκότος αὐτῷ τοῦ μακαριωτάτου Πάπα : Πορεύου τέκνον, ὁ Κύριος ἔσται μετὰ σοῦ, καὶ αὐτὸς εὐθύναι τὴν ὁδόν σου, στηρίζων πρὸς πᾶν ἔργον ἀγαθὸν καὶ διαφυλάττων σε ἀπὸ τῶν τοῦ διαβόλου μεθοδειῶν. Πεσὼν οὖν ὁ μακάριος Πέτρος εἰς τοὺς πόδας τοῦ Πάπα, λέγει πρὸς αὐτόν : Σῶζου τίμιε πάτερ, σώζου μαθητὰ τοῦ Χριστοῦ, καὶ ὑπήκοε τοῦ ἐμοῦ ἐγγυητοῦ καὶ ῥύστου μου, τοῦ ἁγίου Νικολάου. Καὶ ἀσπασάμενος αὐτὸν, τόν τε Κλῆρον ἅπαντα, ἐξῆλθε τῆς πόλεως δεόμενος τοῦ Θεοῦ, τῆς ἀγαθῆς μὴ ἐνδοῦναι προθέσεως. Εὑρὼν δὲ πλοῖον, εἰσῆλθεν εἰς αὐτὸ καὶ ἀπέπλευσεν· ἦν δὲ ὁ ἄνεμος ἐπιτήδειος, καὶ πλεύσαντες ἡμέρας ἐφ' ἱκανάς, κατήντησαν ἔν τινι χωρίῳ, καὶ τὴν ναῦν προσορμίσαντες, ἐξῆλθον οἱ ναυτικοὶ τοῦ ὀπτῆσαι ἄρτους. Ἀπελθόντες οὖν ἔν τινι οἰκίσκῳ, εὗρον πάντας τοὺς ἐν αὐτῷ κακῶς ἔχοντας· ὀπτήσαντες δὲ τοὺς ἄρτους καὶ καθίσαντες πρὸς ἑστίασιν, λέγουσιν ἑνὶ αὐτῶν : Λαβὼν ἄρτον ζέοντα, ἀποκόμισον τῷ ναυκλήρῳ καὶ τῷ Ἀββᾷ ἡμῶν.

9. Ὡς οὖν ἤκουσεν ὁ τοῦ οἴκου κύριος περὶ τοῦ Ἀββᾶ, λέγει τοῖς ναύταις: Κύριοί μου, ἐλθέτω ὁ πατὴρ καὶ εὐλογησάτω ἐμέ τε καὶ τὸν υἱόν μου, ὅτι ἤδη τῷ θανάτῳ προσεγγίζομεν, τῇ χαλεπῇ ταύτῃ, ὡς ὁρᾶτε, ἀῤῥωστίᾳ περιπεσόντες. Τοῦτο ἀκούσαντες ἐκεῖνοι, ἀπελθόντες ἀνήγγειλαν τῷ Ἀββᾷ, τὴν ἄκραν δὲ ταπείνωσιν περικείμενος οὗτος, καὶ μὴ θέλων ἑαυτὸν ἐμφανίσαι, πορευθῆναι σὺν αὐτοῖς οὐκ ἠβούλετο· μαθὼν δὲ ὅτι εἰς αὐτὰς κατήντησαν τοῦ θανάτου τὰς πύλας, κατηφιῶν ἅμα καὶ σκυθρωπάζων, μετ' αὐτῶν διήνυσε τὴν ὁδόν. Ὡς δὲ τῇ θύρᾳ τοῦ οἴκου προσήγγισαν, τοῦ πατρὸς τό, Χαῖρε τῷ οἰκοδεσπότῃ προσφθεγξαμένου, εὐθὺς καὶ παραχρῆμα, ὥσπερ ἐκ βαρυτάτου κάρου εἰς ἑαυτὸν γενόμενος, ἀνέθορε τῆς κλίνης ὁ ἀσθενῶν· καὶ πεσὼν πρὸς τοὺς πόδας τοῦ ὁσίου, καὶ τούτους μετὰ δακρύων περιπτυσσόμενος, ἀνέστη ἐῤῥωμένος καὶ ὑγιής, παραδόξου τυχὼν τῆς ἰάσεως ἐπιλαβόμενος δὲ τῆς τοῦ ὁσίου χειρός, διέδραμε πάντα τὰ τῶν ἀσθενούντων κλινίδια, καὶ ποιοῦντος τοῦ ὁσίου τὴν ἐν Χριστῷ σφραγίδα, εὐθέως ἰῶντο οἱ τῇ νόσῳ κατεσχημένοι. Ἰασάμενος οὖν πάντας τοὺς ἐν τῷ οἴκῳ ἀῤῥώστους, αὖθις ὑπέστρεψεν εἰς τὸ πλοῖον· ἀνήγγειλαν δὲ πάντα τὰ παρ' αὐτοῦ γενόμενα τῷ ναυκλήρῳ οἱ ναῦται, καὶ δεδωκότες δόξαν τῷ Θεῷ, πεσόντες ἅμα προσεκύνησαν αὐτῷ.

10. Ὁ οὖν οἰκοδεσπότης ὁ τῆς ἰάσεως τυχὼν πανοικί, λαβὼν ἄρτους καὶ οἶνον καὶ ἔλαιον, παρεγένετο εἰς τὸ πλοῖον ταῖς οἰκείαις χερσὶ διαβαστάζων αὐτά Ὁ δὲ μένας πατὴρ ἡμῶν Πέτρος, τὴν μὲν αὐτοῦ προαίρεσιν ἀπεδέξατο, λαβεῖν δὲ αὐτὰ οὐ παρεδέχετο : καὶ πεσὼν πρὸς τοὺς πόδας αὐτοῦ ἅμα τοῖς συνελθοῦσιν αὐτῷ, ἔκλαιον ὁμοῦ πικρῶς λέγοντες: Δοῦλε γνήσιε τοῦ Χριστοῦ, εἰμὴ τὴν μικρὰν ταύτην εὐλογίαν ἐκ τῶν χειρῶν ἡμῶν λήψῃ, οὐδὲ αὐτοὶ παλινοστοῦμεν ἐν τῇ οἰκίᾳ ἡμῶν. Μόλις δὲ πεισθεὶς ὁ πατήρ, πάντων τῶν ἐν τῷ πλοίῳ δυσωπησάντων πρὸς τοῦτο, λαβεῖν αὐτὰ κατεδέξατο· καὶ χαίροντες ὑπέστρεψαν εἰς τὸν οἶκον αὐτῶν εὐχαριστοῦντες τῷ Θεῷ καὶ τῷ τούτου θεράποντι.

11. Τούτου οὕτω γενομένου, καὶ τοῦ Κυρίου δοξάσαντος ἐν πᾶσι τὸν ἴδιον οἰκέτην, τῶν ἐκεῖσε ἁπάντων οἱ ναυτικοί,

Athos Library
Αγιορειτική Βιβλιοθήκη

τῆς ἐπὶ τὸ πρόσω πορείας εἶχοντο. Ἦν δὲ ἡ μὲν τροφὴ τοῦ μακαρίτου πατρὸς ἐν τῷ πλοίῳ, ἀφ' ἑσπέρας εἰς ἑσπέραν οὐγκία ἄρτου, ἡ δὲ πόσις, ἀπὸ τοῦ θαλαττίου ὕδατος ἑνὸς μικροῦ βαυκαλίου. Καὶ διαπλεύσαντες ἡμέρας ἱκανάς, καὶ ἔν τινι ἡσύχῳ τόπῳ προσορμισθέντες, μικροῦ μετασχὼν ὕπνου ὁ θεοφόρος Πέτρος, ὁρᾷ τὴν πανάχραντον Θεοτόκον μετά τινος ὑπερβαλλούσης αἴγλης φανεῖσαν, καὶ τὸν μέγαν Νικόλαον αἰδοῖ καὶ φόβῳ καὶ συστολῇ πλησιάζοντα, καὶ ἱκετικῶς λέγοντα αὐτῇ : Δέσποινα τοῦ παντὸς καὶ Κυρία, ἐπείπερ τὸν δοῦλόν σου τοῦτον τῆς χαλεπῆς ἐκείνης αἰχμαλωσίας ἐλευθερῶσαι ἠθέλησας, δυσωπήθητι ὑποδεῖξαι τούτῳ καὶ τόπον, ἐν ᾧ τὸν ὑπόλοιπον τῆς ζωῆς αὐτοῦ διατελέσει χρόνον, τὰ φίλα Θεῷ διαπράττων. Καὶ στραφεῖσά, φησι πρὸς αὐτὸν ἡ Θεοτόκος: «Ἐν τῷ τοῦ Ἄθω Ὄρει ἔσται ἡ ἀνάπαυσις αὐτοῦ, ὅπερ εἰς κλῆρον ἐμὸν αἰτησαμένη εἴληφα παρὰ τοῦ ἐμοῦ Υἱοῦ καὶ Θεοῦ, ὅπως οἱ τῶν κοσμικῶν ἀναχωροῦντες συγχύσεων καὶ τῶν πνευματικῶν ὅση δύναμις ἀντεχόμενοι, καὶ τὸ ἐμὸν ἀληθείᾳ καὶ πίστει καὶ διαθέσει ψυχῆς ἐπικαλούμενοι ὄνομα, τήν τε παροῦσαν ζωὴν ἀμερίμνως διανύωσι, καὶ τὴν μέλλουσαν δι' ἔργων θεαρέστων κληρονομῶσι· πάνυ γὰρ ἐτιτερπῶς ἔχω τούτου, καὶ λίαν μου τὸ πνεῦμα ἐπ' αὐτῷ ἐπευφραίνεται· καὶ γὰρ σαφῶς οἶδα, ὅτι ἔσται ποτὲ ὅτε πλησθήσεται τοῦ Τάγματος τῶν μοναχῶν ἀπ' ἄκρων ἕως ἄκρων αὐτοῦ, καὶ τὸ ἔλεος τοῦ ἐμοῦ Υἱοῦ καὶ Θεοῦ (εἴ γε καὶ αὐτοὶ τῶν σωτηρίων ἐντολῶν ἀντέχονται), εἰς τὸν σύμπαντα αἰῶνα, ἀπ' αὐτῶν οὐ διασκεδασθήσεται· καὶ πλατυνῶ αὐτοὺς ἐπὶ νότον καὶ βορρᾶν τοῦ εἰρημένου Ὄρους, καὶ κατακυριεύσουσιν αὐτοῦ ἀπὸ θαλάσσης ἕως θαλάσσης, καὶ τὸ ὄνομα αὐτῶν ἐν πάσῃ τῇ ὑφηλίῳ περιβόητον θήσω, καὶ τῶν διακαρτερούντων ἐν αὐτῷ ὑπερασπιῶ». Ἀλλ' ὅρα μοι πᾶς ὁ παρατυγχάνων τῷδε τῷ διηγήματι, Δεσπότου μὲν ἄκραν φιλανθρωπίαν, δούλου δὲ συμπάθειαν καὶ στοργὴν πρὸς ὁμόδουλον, καὶ Δεσποίνης πρὸς οἰκέτην κηδεμονίαν καὶ προστασίαν· ἐννόει μοι δὲ καὶ τὴν τοῦ ὁσίου Πέτρου ἀκραιφνεστάτην πίστιν, ἥτις πάντα τὰ δυσχερῆ κατευμάρισε, καὶ τὴν εὐχὴν ἣν ηὔξατο τῷ Κυρίῳ, ἀποδοθῆναι πεποίηκε. (*)

(*) Ὁ μέγας ἐν Ἁγίοις Γρηγόριος Ἀρχιεπίσκοπος Θεσσαλονίκης ὁ καὶ Παλαμᾶς, ἐν τῷ ὑπ' αὐτοῦ συγγραφέντι βίῳ τοῦ ὁσίου τούτου Πέτρου ἀρχομένῳ οὕτῳ: «Οὐ δίκαιόν ἐστιν ὡς ἐμοὶ δοκεῖ», ὡς ἑξῆς ἱστορεῖ τὴν πρὸς τὸν ὅσιον ἐμφάνειαν ταύτην τῆς Θεοτόκου:

«...Ὅναρ ὁρᾷ τὴν ἀειπάρθενον Μητέρα Θεοῦ, ταύτῃ δὲ τὸν ἑαυτοῦ προμηθέα Νικόλαον ἐν οἰκέτου σχήματι παρεστῶτα, καὶ πρὸς αὐτὴν ἡρεμαίᾳ φωνῇ φθεγγόμενον : Ποῦ καταλύσει Πέτρος ὦ Δέσποινα; Τὴν δ' ὑπολαβοῦσαν φαιδρῶς τε καὶ κοσμίως ἀποκρινομένην «Ἔστιν Ὄρος ἐπ' Εὐρώπης κάλλιστον ὁσιοῦ καὶ μέγιστον, πρὸς Λιβύην τετραμμένον, ἐπὶ πολὺ τῆς θαλάσσης εἴσω προϊόν. Τοῦτο τῆς γῆς ἁπάσης ἀπολεξαμένη, τῷ μοναχικῷ πρέπον καταγώγιον προσκληρῶσαι διέγνων ἔγωγε, ταῦτ' ἄρα καὶ ἰδιαίτατον ἐνδιαίτημα τοῦτ' ἀφιέρωσα ἐμαυτῇ, καὶ ἅγιον τούντεῦθεν κεκλήσεται. Καὶ τῶν ἐπ' αὐτοῦ δὲ τὸν πρὸς τὸν κοινὸν ἀνθρώποις πολέμιον ἀγῶνα ἐπαναιρουμένων, προπολεμήσω διὰ βίου παντός. Καὶ πάντως ἔσομαι τούτοις ἅμαχος σύμμαχος, τῶν πρακτέων ὑφηγητής τῶν μὴ πρακτέων ἑρμηνευτής· κηδεμών, ἰατρός, τροφεύς, ἤν ἄρα βούλει τροφήν τε καὶ ἰατρείαν, ὅση τε πρὸς τὸ σῶμα τείνει καὶ τοῦτο συνιστᾷ τε καὶ λυσιτελεῖ, καὶ ὅση τὸ πνεῦμα διανιστᾷ τε καὶ ῥώννυσι καὶ μὴ τοῦ καλοῦ διαπεσεῖν συγχωρεῖ. Συστήσω δ' ἄρα τῷ Υἱῷ καὶ Θεῷ μου, οἷς ἂν γένηται καλῶς καταλῦσαι τῆδε τὸν βίον, τῶν αὐτοίς ἡμαρτημένων τελείαν ἐξαιτησαμένη παρ' αὐτοῦ τὴν ἄφεσιν».

Οἶδα ὅτι πᾶσιν ἐνῆκεν ἡδονὴν ὁ λόγος· καὶ εἰκότως, ἅτε τὴν περισπούδαστον ἡμῖν τε καὶ τοῖς εὖ φρονοῦσιν ἅπασι κατὰ ψυχὴν σωτηρίαν ἀναμφιλέκτως ἐπαγγελόμενος. Ὅταν γὰρ ἡ τοῦ Θεοῦ Μήτηρ, ἡ καὶ τὰ ἀδύνατα δυνατὰ καθέστηκεν, ὑπισχνεῖται βοηθεῖν, καὶ οὐκ ἐνταυθοῖ μόνον, οὐδ' ἐπὶ τοῦ παρόντος, πρὸς δὲ καὶ ἐπὶ τοῦ μέλλοντος αἰῶνος, καὶ οὐκ ἐπὶ σμικροῖς ἀπαλλαγὴν δὲ προξενοῦσαν τῶν ἀῤῥήτων ἐκείνων εὐθυνῶν καὶ τῶν ἀκηράτων ἀγαθῶν ἀπόλαυσιν, τίς οὐκ ἂν ὑπερβαλλόντως ἥδοιτο νοῦν ἔχων;

12. Διϋπνισθεὶς οὖν ὁ μακάριος Πέτρος ἀκμαίαν ἔτι τὴν ὀπτασίαν ἔχων, ηὐχαρίστησε τῷ Θεῷ, καὶ τῇ Παναγνῳ τούτου Μητρί, καὶ τῷ μεγάλῳ πατρὶ Νικολάῳ· ἦν δὲ ὥρα ὡσεὶ τρίτη καὶ πνεύματος ἐπιφόρου τυχόντος, ἐπορεύοντο χαίροντες. Ἐγγισάντων δὲ ἤδη τῷ τοῦ Ἄθω Ὄρους ἀκρωτηρίῳ, αἴφνης ἔστη τὸ πλοῖον, τοῦ ἀνέμου ἔτι πνέοντος καὶ τὰ ἱστία πληροῦντος. Καὶ διηπόρουν οἱ ναυτικοὶ πρὸς ἀλλήλους λέγοντες : Τί ἄρα ἐστὶ τὸ σημεῖον τοῦτο, καὶ τίς ἡ παράδοξος αὕτη καινοτομία; ὅτι ἐν τοσούτῳ χάσματι πελάγους, ἀνέμου ἐπιτηδείου ὄντος, τὸ σκάφος ἔστη παρ' ἐλπίδα τῆς ἐπὶ τὸ πρόσω πορείας; Ταῦτα διαπορούντων αὐτῶν, μέγα στενάξας ἔφη πρὸς αὐτοὺς ὁ ἅγιος : Τεκνία, θέλοντα μαθεῖν με καὶ ἐρωτῶντι, εἴπατέ μοι· ἴσως γὰρ τῆς διαπορήσεως ὑμῶν ἐπιλύτης ἔσομαι. Τίς ἡ κλῆσις τοῦ τόπου τούτου; οἱ δὲ εἶπον : Τὸ ἅγιόν ἐστιν Ὄρος τίμιε πάτερ, ὅπερ ἀρχῆθεν τὴν τοῦ Ἄθω εἴληφε προσηγορίαν. Καὶ λέγει αὐτοῖς : Τάχα δι' ἐμὲ τὸ σημεῖον τοῦτο γέγονε σήμερον· καὶ εἰ μὴ ἐν τῷ τόπῳ τούτῳ ἐξενέγκαντες ἐάσητέ με, περαιτέρω προβῆναι οὐ δύνασθε· Οἱ δὲ δάκρυσι συσχεθέντες, τὰ ἱστία χαλάσαντες, τῇ γῇ προσήγγισαν, καὶ τοῦτον μετ' ὀδυρμῶν καὶ θρήνων ἐκβαλόντες, εἴασαν ἐκεῖσε λέγοντες αὐτῷ, ὅτι μεγάλης σκέπης καὶ βοηθείας ὑστερήθημεν σήμερον, σοῦ διαιρεθέντος ἡμῶν. Καὶ ὁ ἅγιος πρὸς αὐτούς : Τί οὕτως ὀλολύζετε καὶ ἑαυτοὺς κατασπαράσσετε τέκνα, δι' ἐμὲ τὸν πάσης ἁμαρτίας ἀνάπλεων; Ὁ Θεὸς ὁ φιλάνθρωπος, ὁ πανταχοῦ παρὼν καὶ τὰ πάντα πληρῶν, αὐτὸς καὶ ὑμῖν συνοδεύσει, κἀμοὶ χεῖρα βοηθείας ὀρέξει ἀπαρχὴν ποιουμένῳ πολιτείας θεοφιλοῦς.

13. Οὕτως εἰπών, καὶ τὸν ἐν Κυρίῳ δεδωκὼς αὐτοῖς ἀσπασμόν, τρίτον ἐπελάβετο τῆς νηός, καὶ τῷ Τιμίῳ Σταυρῷ σφραγίσας, καὶ ἐπειπών, πορεύεσθε ἀδελφοὶ ἐν εἰρήνῃ, ὁ Κύριος μεθ' ἡμῶν, ἐξέπεμψεν εἰς τὰ ἴδια. Ἀπὸ δὲ τῆς ἀκρωρείας ἐκείνης, τὸ ἀνωφερὲς τῆς ὁδοῦ καὶ δύσβατον ἱδρῶτι πολλῷ διελθὼν καὶ κόπῳ, πρός τι πεδίον ἐγένετο ὁμαλὸν καὶ εὐάερον· καὶ μικρὸν τῶν πόνων ἀνεθείς, πάλιν ἤρξατο διερχόμενος περισκοπεῖν τὸν τόπον ἐν ᾧ ἡ ἀνάπαυσις αὐτοῦ ἔσται· πολλοὺς δὲ χειμάῤῥους καὶ νάπας καὶ γηλόφους διελθών, εὗρε σπήλαιον, πάνυ μὲν σκοτεινόν, ὕλῃ δὲ βαθείᾳ περιεστοιχισμένον, ἐν ᾧ τοσοῦτον ἑρπετῶν ἐσμὸς ἦν, ὡς ὑπερβαίνειν οὐρανίων ἀστέρων πλῆθος καὶ θαλαττίαν ἄμμον, μεθ' ὧν καὶ δαιμόνων ἐνεφώλευον πλήθη, οἳ τοσοῦτον ἤγειραν σμῆνος πειρασμῶν τῷ ἁγίῳ, ὡς μήτε γλῶσσαν χωρεῖν ἀφηγεῖσθαι, μήτε ἀκοὴν παραδέχεσθαι. Τινὰ γὰρ τῶν τῆς ὕλης ἐκείνης διατεμὼν ἅ τὴν θεόδμητον ἔσκεπον τοῦ σπηλαίου θύραν, κατώκησεν ἐν αὐτῷ εὐχαριστῶν τῷ Κυρίῳ καὶ ἐξομολογούμενος νυκτὸς καὶ ἡμέρας, καὶ τὰς εὐχὰς θερμῶς ἀναπέμπων.

14. Οὕπω τὸν δεύτερον τῆς ἑβδομάδος τοῦ ἁγίου καιρὸν διανύσαντος, τὸ καρτερικώτατον αὐτοῦ καὶ τολμηρὸν, μὴ φέρων ὁ ἀεὶ τοῖς καλοῖς ἐπιβασκαίνων σατάν, ἄρας τὴν πανστρατιὰν αὐτοῦ μετὰ βελῶν καὶ τόξων, εἴσεισι μόνος ἐν ἐκείνῳ τῷ σπηλαίῳ ἔνθα ὁ μακάριος τὸν τῆς μαρτυρικῆς ἀθλήσεως διήνυεν ἀγῶνα· οἱ δὲ ἄλλοι, λίθους παμμεγέθεις ὥσπερ κυλίοντες ἔξωθεν, μετὰ φωνῶν καὶ κραυγῶν ἔπεμπον κατ' αὐτοῦ, ὥστε ταῦτα ὁρῶντα

Athos Library
Αγιορειτική Βιβλιοθήκη

τὸν ἅγιον λέγειν, ὅτι πάντως πέφθακέ μου τὸ πέρας, καὶ οὐκ ἔτι τοῖς ζῶσιν ἀριθμηθήσομαι. Καὶ ὁ μὲν πρωτοστάτης τούτων, ἔνδον ἦν τοῦ σπηλαίου· ἡ δὲ ἄλλη αὐτοῦ πανοπλία τὰ τόξα κατέχοντες, ἐδόκουν πέμπειν κατὰ τοῦ ὁσίου φονίως. Ὡς δὲ τῇ ἄνωθεν χάριτι ἀσινὴς διετηρεῖτο, λέγει ἐν ἑαυτῷ: Ἐξελεύσομαι τοῦ σπηλαίου καὶ γνώσομαι τίς ἡ τοσαύτη μανία, καὶ τί τῶν συνειλεγμένων τὸ σύνταγμα· καὶ ἐξελθών, εἶδε τὰ τῆς πονηρίας πνεύματα κύκλῳ τοῦ σπηλαίου ἑστῶτα, καὶ κραυγαῖς ἀφορήτοις καὶ φοβεραῖς ὄψεσι, ροιζηδὸν κατ' αὐτοῦ ἐπιόντα· καὶ τὸ ὄμμα πρὸς οὐρανὸν ἀνατείνας, τὴν Θεοτόκον ἐπεκαλεῖτο πρὸς συμμαχίαν, εἰρηκὼς οὕτως: ἁγία Θεοτόκε βοήθει τῷ δούλῳ σου. Καὶ ἅμα τὸ ἀκοῦσαι τοὺς ἐναντίους τὸ γλυκὺ καὶ περιπόθητον ἡμῖν τῆς Θεοτόκου ὄνομα, εὐθὺς καὶ παραχρῆμα γεγόνασιν ἄφαντοι.

15. Εἴχετο οὖν πάλιν τῶν ἀγώνων ὁ ἅγιος, ἑαυτὸν ἐκδεδωκὼς τῷ σπηλαίῳ· καὶ προσευχόμενος ἔλεγε μετὰ κραυγῆς ἰσχυρᾶς: Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός μου, μὴ ἐγκαταλίπῃς με· καὶ οὐκ ἔτι ἠδύνατο φωναὶ μέχρι καιροῦ τινος. Μετὰ ταῦτα πεντήκοντα παρελθουσῶν ἡμερῶν, πάλιν τῷ προτέρῳ χρησάμενοι σχήματι οἱ ταλαίπωροι, ὁπλίζονται κατ' αὐτοῦ, καὶ κινοῦσι πᾶν ἑρπετὸν ἰοβόλον, καὶ πάντα τὰ θηρία ἃ ἦν ἐν τῷ Ὄρει, καὶ μετ' αὐτῶν ἄγουσιν ἐν τῷ σπηλαίῳ· καὶ τὰ μὲν αὐτῶν, ἔνθεν κἀκεῖθεν τρέχειν ἐποίουν οἱ ἀλιτήριοι· τὰ δὲ, χάσμασι χρᾶσθαι καὶ ζῶντα πειρᾶσθαι καταπιεῖν τὸν δίκαιον· ἄλλα δὲ ἕρπειν καὶ συρίττειν καὶ βλοσυρὸν ὁρᾶν παρεσκέυαζον. Ἀλλὰ καὶ πάλιν τούτους τοὺς ἀσθενεῖς καὶ ἐκνενευρισμένους, τῷ σημείῳ τοῦ Σταυροῦ, καὶ τῇ ἐπικλήσει τοῦ ὀνόματος τοῦ Θεοῦ καὶ τῆς ἀχράντου τοῦτον τεκούσης Μητρός, πάντας ἐφυγάδευσε.

16. Χρόνου οὖν πληρωθέντος ἑνός, καὶ ἡσυχίαν ἀσκοῦντος τοῦ μεγάλου πατρὸς ἡμῶν Πέτρου, καὶ ὅση δύναμις αὐτῷ καθαιροῦντος τὰ τοῦ ἐχθροῦ ὑψώματα καὶ τεχνάσματα, δεινὸν ποιεῖται ὁ ἀλάστωρ τὴν αὐτοῦ ἠρεμίαν καὶ οὐκ ἀνεκτόν. Καὶ ὅρα οἷα αὐτῷ μεμηχάνευται· μετασχηματισθεὶς γὰρ ὁ δαίμων εἰς ἕνα τῶν οἰκειακῶν παίδων αὐτοῦ, δρομαίως ἔρχεται πρὸς τὸ σπήλαιον· καὶ ἀναιδῶς περιπτυξάμενος αὐτόν, φιλεῖν ὑποκρινόμενος ὁ τοῦ μίσους ἀνάπλεως, καθίσας ἤρξατο κλαίειν καὶ λέγειν οὕτως: Ἀκηκόαμεν κύριε ἡμῶν, πῶς μὲν ἐν τῷ πολέμῳ κρατηθείς, πρὸς τὸν Σαμαρᾶν ἀπηνέχθης, καὶ τῇ κακῇ καὶ ζοφώδει ἐκείνῃ εἱρκτῇ παρεδόθης· πῶς δὲ ὁ Θεός, εὐχαῖς τοῦ παμμάκαρος πατρὸς ἡμῶν Νικολάου, τ ῦ φρουρίου, ἐκείνου, ὡς ἀπόλοιτο, ἐκβαλών, τῇ τῶν Ῥωμαίων γῇ σε ἀποκατέστησε· διὸ καὶ πάντες οἱ ἐν τῷ οἴκῳ σου ἅμα ἐμοὶ τῷ μάλιστα περικαιομένῳ τὴν καρδίαν σῆς θέας καὶ ὁμιλίας ἕνεκεν, πενθοῦσιν ἀπαρηγόρητα. Πολλὰς δὲ πόλεις, καὶ κώμας ὅτι πλείστας διαδραμόντες, οὐκ ἰσχύσαμεν τῆς ἐφέσεως ἐπιτυχεῖν, καὶ τὸ ποθούμενον ἡμῖν κατιδεῖν πρόσωπον· ἀπορίᾳ δὲ συσχεθέντες, δάκρυσι καὶ δεήσεσι τὸν μέγαν ἐπικαλούμεθα Νικόλαον, ἐκλιπαροῦντες, ὦ γλυκύτατε, ἀποκαλύψαι ἡμῖν ὅπου περ ἂν ᾖς, τὸν κεκρυμμένον σε θησαυρὸν. Καὶ οὐ παρεῖδεν ἡμῶν τὸ ἀνάξιον ὁ ἐν πᾶσι θερμός, ἀλλ' ἀπεκάλυψε τάχιστα τὰ κατὰ σὲ φανερώσας. Νῦν οὖν κύριέ μου ἄκουσόν μου, καὶ πορευθῶμεν εἰς τὸν οἶκον ἡμῶν (οἶδας δὲ καὶ αὐτὸς ὡς περικαλλὴς ἐστι), καὶ ἴδωσι πάντες τὸ αὐτοῖς σε ποθούμενον πρόσωπον, καὶ δοξασθῇ Θεὸς ἐν ἀμφοτέροις ὁ ἀεὶ δοξαζόμενος. Περὶ δὲ ἡσυχίας, μὴ ἔστω σοι φροντίς· κἀκεῖ γὰρ καὶ μοναστήρια εἰσι πάμπολα, καὶ ἡσυχαστήρια, ἐν οἷς τὸν ἅπαντά σοι βίον ἡσυχαστικῶς διαγύσεις.

Ἀλλὰ καὶ αὐτὸς πρὸς αὐτῆς τῆς ἀληθείας, λέγε μοι: Τί τῶν δύο μάλιστα Θεὸς θεραπεύεται; ἀναχωρήσει κόσμου καὶ ἐρημίᾳ καὶ ἡσυχίᾳ, τῇ τε τῶν ἀποῤῥώγων πετρῶν καὶ φαράγγων τούτων διατριβῇ ἐν οἷς σαυτὸν μόνον, τάχα δὲ οὐδὲ ἑαυτόν, ἥκιστα ὠφελήσειας, ἢ ἀνθρώπων διδασκαλίᾳ καὶ ὁδηγίᾳ καὶ τῆς πρὸς αὐτὸν ἐπιστροφῆς ἐκ τῆς πλάνης; Ἔγωγε οἶμαι, ὡς μιᾶς ψυχῆς ἐκ πλάνης ὁδοῦ αὐτῆς ἐπιστροφή, πολλῶν ἐρημικῶν ὑπερακοντίσει ἀγῶνας. Καὶ μαρτυρεῖ μοι τῷ λόγῳ ὁ λέγων, ὁ «ἀνάγων ἅξιον ἐξ ἀναξίου, ὡς τὸ στόμα μου ἔσται»· πολλὰ δὲ πλήθη ἐν τῷ τόπῳ ἡμῶν εἰσιν ἀεὶ ἐν μυρίοις πάθεσι πλανώμενα, καὶ χρήζουσιν εἰκότως τοῦ μετὰ Θεὸν αὐτοῖς βοηθήσοντος. Μυρίος οὖν ἀποκείσεταί σοι μισθός, εἴ γε τοὺς πλανωμένους ἐλθὼν ἐπιστρέψειας πρὸς Θεόν. Λοιπὸν τί μέλλει; τί τὴν μετὰ τοῦ ὁλοκαρδίως φιλοῦντός σε οἰκέτου, ἀναδύῃ ὁδόν;

17. Ταῦτα τοῦ δαίμονος λέγοντος, καὶ ἄλλα τινὰ μετὰ δακρύων, ἤρξατο διαταράττεσθαι καὶ ὁ ἅγιος, καὶ δάκρυσι βρέχων τὸ πρόσωπον, φησὶ πρὸς αὐτόν: Ἐν τῷ τόπῳ τούτῳ, οὐκ Ἄγγελος, οὐκ ἄνθρωπος ἔφερέ με, ἀλλ' αὐτὸς ὁ Θεός, καὶ ἡ πανάχραντος αὐτοῦ μήτηρ ἡ Θεοτόκος· καὶ εἰ μὴ τῇ ἐκείνων γνώμῃ καὶ προτροπῇ τῶν ὧδε χωρισθῶ, ἄλλως οὐ χωρίζομαι. Ἅμα δὲ τὸ ἀκοῦσαι τὸν δαίμονα τὸ τῆς Θεοτόκου ὄνομα, εὐθέως ἄφαντος γέγονε. Καὶ θαυμάσας ὁ ἅγιος τὴν σκαιωρίαν τοῦ δαίμονος, τὴν ἐν Χριστῷ σφραγίδα πεποιηκώς, πάλιν ἡσύχασε· νηστείᾳ δὲ χρησάμενος καὶ ἐγκρατείᾳ πολλῇ, καὶ προσευχαῖς ἀνενδότοις σχολάζων, εἰς ἄκρον ἔφθασε ταπεινώσεως, καὶ μέτρον ἀγάπης εἰλικρινοῦς, καὶ νοὸς καθαρότητα. Διὸ καὶ σφόδρα ἠδημόνει καὶ ἔσπευδεν ὁ λαμπόνηρος, τὸν τόνον αὐτοῦ χαλάσαι, καὶ τῆς ἐπὶ τὸ κρεῖττον ῥοπῆς ἀναστεῖλαι.

18. Καὶ μετὰ παραδρομὴν χρόνων ἑπτά, εἰς ἄγγελον φωτὸς μετασχηματισθείς ὁ δαίμων, ἐσπασμένην ἔχων ἐν τῇ χειρὶ ῥομφαίαν, ἔστη πλησίον τῆς τοῦ σπηλαίου ὀπῆς καὶ καλέσας αὐτὸν ἔξ ὀνόματος, ἔφη: Πέτρε θεράπον Χριστοῦ, ἔξελθε καὶ ἀναγγελῶ σοι λόγους καλούς. Καὶ λέγει ὁ ἅγιος: Σὺ τίς εἶ ὁ λόγους μοι ἀναγγεῖλαι ὑπισχνούμενος ὠφελίμους; Καὶ ὁ πονηρός: ἐγὼ εἰμι Κυρίου ὁ ἀρχιστράτηγος, καὶ ἀπεστάλην πρὸς σέ· ἴσχυε οὖν καὶ ἀνδρίζου. καὶ χαῖρε καὶ ἀγαλλίᾳ, ὅτι θρόνος σοι θεῖος ἡτοίμασται καὶ στέφανος ἀμαράντινος. Νῦν οὖν τὸν τόπον τοῦτον καταλιπών, πορεύθητι ἐν τῷ κόσμῳ εἰς στήριγμα καὶ ὠφέλειαν πολλῶν· καὶ γὰρ ὁ Θεὸς τὴν πηγὴν ἐξήρανε τοῦ ὕδατος τὴν πλησίον σου, διὰ τὰς τῶν θηρίων καὶ ἑρπετῶν ἐπιδρομὰς τὰς κατὰ σοῦ γινομένας, ὅπως ἀποψύξωσιν ὕδατος μὴ μετέχοντα· ἦν δὲ ὁ πάνσοφος ἐν κακίᾳ οὗτος προαποστείλας δαίμονα, κωλύοντα καὶ διακατέχοντα τὴν τοῦ ὕδατος ῥύμην. Τοῦτο ἀκούσας ὁ ἅγιος, ἔφη ἐν ταπεινώσει: Τίς εἰμι ἐγὼ ὁ κύων, ἵνα Ἄγγελος κυρίου ἔλθῃ πρός με; Καὶ ὁ δαίμων: Μὴ θαυμάσῃς· ἐν γὰρ τοῖς καιροῖς τούτοις, σὺ νενίκηκας καὶ Μωυσῆν καὶ Ἠλίαν καὶ Δανιήλ, καὶ μέγας ἐκλήθης ἐν οὐρανοῖς, διὰ τὸ τέλειον τῆς ὑπομονῆς σου· τὸν γὰρ Ἠλίαν, ὑπερβέβηκας τῇ ἀσιτίᾳ· τὸν Δανιήλ, τοῖς ἑρπετοῖς καὶ θηρίοις· τὸν Ἰώβ, τῇ καρτερίᾳ. Νῦν οὖν ἀναστάς, θέασαι τὴν τοῦ ὕδατος λεῖψιν, καὶ ταχέως ἐξελθὼν τῶν ὧδε, ἄπελθε ἐν μοναστηρίῳ τοῖς ἐν τῷ κόσμῳ· κἀκεῖ ἔσομαι μετὰ σοῦ, καὶ ὠφελήσω πολλοὺς διὰ σοῦ λέγει Κύριος παντοκράτωρ. Καὶ ὁ ἅγιος: Ἐγὼ γίνωσκε, ὅτι ἐὰν μὴ ἔλθῃ ἡ ἐν πᾶσι συνεργοῦσά μοι Θεοτόκος, καὶ ὁ θερμὸς τῶν ἐν ἀνάγκαις ἀρωγὸς Νικόλαος, τῶν ὧδε οὐκ ἀφίσταμαι· ἅμα δὲ τὸ ἀκοῦσαι τῆς Θεοτόκου, τὸ ὄνομα, εὐθὺς ἐξ ὀφθαλμῶν ἐγένετο τοῦ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἁγίου ὁ δαίμων. Καὶ γνοὺς τὰ τεχνάσματα τοῦ διαβόλου ὁ ἅγιος, καὶ τὴν αὐτοῦ ἐν ἅπασιν ἀσθένειαν, προσηύξατο πρὸς Κύριον, λέγων οὕτως: Ὁ μὲν ἐχθρός, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός μου, ὠρυόμενος περιέρχεται ζητῶν καταπιεῖν με· ἀλλὰ σὺ τῇ κραταιᾷ χειρί σου, περιφρουρεῖς με τὸν δοῦλόν σου· διὸ καὶ εὐχαριστῶ σοι ὅτι οὐκ ἀπέστης ἀπ' ἐμοῦ.

19. Ταῦτα λέγων ὁ ἅγιος, ἡσύχασε. Καὶ τῇ ἐκείνης ἡμέρας νυκτί, ἀφυπνώσαντος αὐτοῦ ὡς εἰώθει μικρόν, φαίνεται αὐτῷ ἡ ταχεῖα τῶν χριστιανῶν βοήθεια, ἡ φιλάνθρωπος Θεοτόκος, ἅμα Νικολάῳ τῷ μεγάλῳ, καί φησι πρὸς αὐτόν: Ἀπὸ τοῦ νῦν μηκέτι δειλιάσῃς· ὁ γὰρ Θεὸς μετὰ σοῦ ἐστιν· καὶ ἀναντιῤῥήτως αὔριον ἀποστέλλεται Ἄγγελος τροφὴν οὐράνιον κομίζων σοι· τοῦτο δὲ προστεταγμένος ἐστί, κατὰ τεσσαρακονθήμερον ἀπὸ τῆς δεῦρο ποεῖν. Καὶ ταῦτα εἰπόντων, καὶ τὴν εἰρήνην αὐτῷ δεδωκότων, ἀνεχώρησαν· ὁ δὲ πεσὼν προσεκύνησε τὸν τόπον ἔνθα οἱ πόδες αὐτῶν ἵσταντο. Καὶ τῇ ἐπαύριον, ἔρχεται ὁ Ἄγγελος ὑψόθεν ἐπιφερόμενος τὰς οὐρανίους τροφὰς· καὶ ὑποδείξας τὸ μάννα, καθὼς ἡ Θεοτόκος ὑπέσχετο, ἀπέστη ἀπ' αὐτοῦ. Εὐχαριστήσας δὲ τῷ Θεῷ καὶ τῇ τούτου Μητρί, ἡσύχασε κατὰ μόνας ἀσκῶν, καὶ τὰς εὐχὰς τῷ Κυρίῳ ἀποδιδούς, ἔτη πεντήκοντα τρία· ἐξέλιπον δὲ καὶ αἱ πυκναὶ φαντασίαι τοῦ διαβόλου καὶ τῶν ἀγγέλων αὐτοῦ, τῇ τοῦ Θεοῦ συνεργείᾳ καὶ συμμαχίᾳ. Ἐν δὲ τοῖς τοσούτοις χρόνοις οὐχ ἑώρακε φύσιν ἀνθρώπου οὐκ ἦν αὐτῷ τραφὴ πλὴν τοῦ μάννα· οὐκ ἔνδυμα· οὐ σκέπη, οὐκ ἄλλο τι τῶν ὅσα χρῄζει τὸ τῶν ἀνθρώπων γένος· ἀλλὰ μόνον τὸν οὐρανὸν ἔχων στέγην, καὶ τὴν γῆν ἀγαπώμενον κλινίδιον, οὕτως ἐπανεπαύετο ὁ μακάριος· ἐν καύματι μὲν καιόμενος, ἐν ἀνέμῳ δὲ καὶ χιόνι ψυχόμενος. Καὶ ταῦτα πάντα ὑπέμεινεν ὑπὲρ ἄνθρωπον διὰ τὴν μέλλουσαν μισθαποδοσίαν. Ὅτε οὖν ἠθέλησεν ὁ Κύριος φανερῶσαι αὐτὸν τοῖς ἀνθρώποις, οἰκονομίαν τοιόνδε τὸν τρόπον γενέσθαι παρεσκεύασεν.

20. Θηρευτής τις, τὸ τόξον αὐτοῦ καὶ τὴν φαρέτραν λαβών, ἐξῆλθε θηρεῦσαι κατὰ τὸ Ὄρος· πολλὰς δὲ λόγχμας, φάραγγάς τε βαθείας καὶ ἀποκρήμνους, καὶ τὰς ὑλώδεις ῥαχίας τοῦ Ὄρους παραμειψάμενος, ἐγένετο κατ' ἐκεῖνο τὸ μέρος ἔνθα ὁ ἅγιος τὴν ἀγγελικὴν ἠσπάζετο πολιτείαν, καὶ τὸν οὐράνιον ἦν ἐμπορευόμενος πλοῦτον. Καὶ ἰδοὺ παμμεγέθης ἔλαφος τοῦ πλησιάζοντος τῷ σπηλαίῳ δρυμοῦ ἐξελθών, σκιρτῶν πως, ἤλατο ἐνώπιον τοῦ θηρευτοῦ· ἰδὼν δὲ ἐκεῖνος ὑπερμεγέθη τε ὄντα καὶ σφόδρα ὡραῖον, τἆλλα πάντα καταλιπών, ἠκολούθει τοῦτον ἐφ' ὅλην τὴν ἡμέραν. Ὥσπερ δὲ ἐκ προνοίας τινὸς ὁ ἔλαφος ὁδηγούμενος, ἐλθὼν ἔστη ἐπάνω τοῦ σπηλαίου· κατ' ἴχνος δὲ βαίνοντος τοῦ θηρευτοῦ, καὶ περισκοποῦντος ποίῳ τρόπῳ περιγένηται τοῦ ζῴου, φαίνεται αὐτῷ ἐν τοῖς δεξιοῖς μέρεσιν ἀτενίσαντι, ἀνὴρ βαθὺς μὲν τὴν ὑπήνην, καὶ τὰς τῆς κεφαλῆς τρίχας μέχρι τῆς μήτρας καθιεμένας ἔχων· τὸ δὲ λοιπὸν σῶμα ἅπαν γεγυμνωμένον, καὶ παντὸς ἐστερημένον ἐνδύματος· ὃν ἰδών, καὶ τῷ παραδόξῳ τοῦ ὁράματος ἔκπληκτος γεγονώς, ἐδειλίασε σφόδρα· καὶ τὸ θήραμα καταλιπών, ὀπισθόρμητος εἴη, καὶ φεύγειν ὅση δύναμις ἤρξατο. Ἑωρακὼς δὲ τοῦτον ὁ μακάριος φυγῇ χρησάμενον, φησὶ πρὸς αὐτὰν μεγάλῃ τῇ φωνῇ: Τί φοβῇ; τί ταράττῃ; τί δέ με φεύγεις ἀδελφέ; κἀγὼ ἄνθρωπός εἰμι ὡς καὶ σύ, καὶ οὐ φάσμα δαιμόνιον ὡς ὑπέλαβες. Δεῦρο πρός με καὶ ἔγγισον, καὶ ἀναγγελῶ σοι πάντα τὰ κατ' ἐμέ· εἰς τοῦτο γὰρ καὶ ἀπέστειλέ σε ὁ Κύριος. Ἐμφόβου δὲ τοῦ ἀνδρὸς ὑποστρέψαντος καὶ θάμβους πλήρους, ἀσπασάμενος ὁ πατὴρ καὶ θαῤῥεῖν προτρεψάμενος, καθ' εἱρμὸν

καὶ τάξιν καὶ ἀκολουθίαν, πάντα τὰ συμβεβηκότα αὐτῷ ἀνήγγειλε τῷ ἀνδρί, τήν τε κάθειρξιν αὐτοῦ τὴν ἐν τῷ Σαμαρᾷ καὶ τὴν ἀνάῤῥυσιν τὴν διὰ τοῦ μεγάλου πατρὸς Νικολάου γενομένην, καὶ τὸ ποίῳ τρόπῳ κατῴκησεν ἐν τῷ ὄρει· καὶ πῶς παρὰ τῶν δαιμόνων διαφόρως ἐπολεμήθη· καὶ πῶς ἐτρέφετο ὑπὸ τοῦ Ἀγγέλου· καὶ πῶς παρέσχεν αὐτῷ τὸ μάννα ὁ Κύριος, καὶ ὅπως τῇ τούτου καὶ μόνῃ τροφῇ διήρκεσεν ἔτη πεντήκοντα τρία· καὶ ἁπλῶς πάντα τὸν βίον αὐτοῦ διεσάφησε τῷ ἀνδρί. Ἐκπλαγεὶς δὲ ἐκεῖνος ἐπὶ τοῖς εἰρημένοις, καὶ ἐννεὸς γενόμενος, ἔφη τῷ ἁγίῳ: Νῦν ἔγνων ὅτι ὁ Κύριος ἐπεσκέψατό με καὶ ὑπέδειξέ μοι, ὦ πάτερ, κεκρυμμένον σε τὸν αὐτοῦ θεράποντα· κἀγὼ τοίνυν μετὰ σοῦ ἔσομαι ἀπὸ τοῦ νῦν δοῦλε τοῦ Θεοῦ, καὶ σὺν σοὶ τὸν σωτήριον διανύσω ἀγῶνα. Ὁ δὲ φησι πρὸ αὐτόν: Οὐχ οὕτως ἔσται τέκνον· ἀλλὰ πρῶτον ἄπελθε ἐν τῷ οἴκῳ σου καὶ τὸ ἐπιλαγχάνον σοι μέρος τῆς πατρικῆς κληρονομίας διάδος τοῖς δεομένοις· ἀπόσχου τε οἴνου καὶ κρεῶν καὶ τυροῦ καὶ ἐλαίου, καὶ πρὸ τούτων, τῆς ἰδίας γυναικός· καὶ ἐπιμελήθητι εὐχῶν καὶ προσοχῆς καὶ ψυχῆς συντετριμμένης τοῦτον τὸν χρόνον· καὶ μετὰ τὸ τέλος αὐτοῦ ἐλθὲ πρός με, καὶ εἴτι μοι Κύριος ὁ Θεὸς ἀποκαλύψει, τοῦτο καὶ γενήσεται.

21. Ταῦτα εἰπών, καὶ τὴν εὐχὴν αὐτοῦ ὡς ἀῤῥαβῶνα δοὺς τῷ θηρευτῇ, ἀπέστειλεν εἰς τὰ ἴδια εἰρηκώς: Σὺ μὲν ἐν εἰρήνῃ πορεύου τέκνον· τὸ δὲ μυστήριον φύλαττε· θησαυρὸς γὰρ φανερούμενος, εὐάλωτος ἔσται κλέπταις καὶ εὐεπιχείρητος. Καὶ ἀπελθὼν ὁ θηρευτής, τὸν μὲν χρόνον ἐκεῖνον ἐποίησε καθὼς εἶπεν ὁ ἅγιος· μετὰ δὲ τὴν συμπλήρωσιν τῆς ἐντολῆς, λαβὼν μεθ' ἑαυτοῦ δύο μοναχοὺς καὶ τὸν ἴδιον ἀδελφόν, ἐπορεύθησαν ἅμα εὑρόντες πλοιάριον· καὶ δὴ ἐν ὀλίγῳ καθώρμισαν ἐν τῷ ἀκροθηνίῳ. Καὶ τῆς ὁδοῦ πόθῳ πολλῷ ἀψάμενοι, ἀνέρχονται εἰς τὸ σπήλαιον. Καὶ θέα μοι, ὦ φιλότης, τὸ τῆς θείας οἰκονομίας ἀπόῤῥητον· προλαβὼν γὰρ πάντας ὁ θηρευτής, ἅτε δὴ καὶ ζήλῳ θερμοτέρῳ κινούμενος, εὗρε τὸν μακάριον τεθνεῶτα, καὶ τὰς χεῖρας σταυροειδῶς δεδεμένας ἔχοντα, καὶ τοὺς ὀφθαλμοὺς εὐσχημόνως κεκαλυμμένους καὶ τὸ λοιπὸν σῶμα σεμνῶς ἐπὶ γῆς κείμενον. Ἰδὼν δὲ οὕτω τὸν ἅγιον κείμενον, τῇ λύπῃ ὥσπερ ἔκπληκτος γεγονώς, ταῖς χερσὶ κρούσας τὸ πρόσωπον, ἔπεσε χαμαὶ οἰμωγῇ καὶ κλαυθμοῖς καὶ ὀδυρμοῖς συνεχόμενος, Μετὰ μικρὸν δὲ καὶ οἱ συνελθόντες αὐτῷ μοναχοὶ καταλαβόντες ἐκεῖσε, καὶ τὰ περὶ τῆς διδαχῆς καὶ νουθεσίας καὶ ἐντολῆς τοῦ ἁγίου καὶ τοῦ βίου αὐτοῦ εἰπόντος αὐτοῖς μετὰ δακρύων τοῦ θηρευτοῦ, ἔκλαυσαν καὶ αὐτοὶ πικρῶς στερηθέντες τῆς αὐτοῦ ὁμιλίας καὶ εὐχῆς.

22. Ὁ οὖν τοῦ θηρευτοῦ ἀδελφός, πνεύματι κατείχετο ἀκαθάρτῳ· καὶ ἅμα τῷ προσεγγίσαι καὶ ἅψασθαι τοῦ λειψάνου, ἦν ἰδεῖν φοβερώτατον θέαμα· σπαραγμοὶ γὰρ συνεχεῖς τὸ σῶμα αὐτοῦ κατεσπάραττον, οἵ τε ὀφθαλμοὶ αὐτοῦ ὕφαιμοι ἐγένοντο καὶ διάστροφοι· τὸ δὲ στόμα πλῆρες ἀφροῦ· καὶ τρίζωντοὺς ὀδόντας ἐβόα λέγων. Ὦ Πέτρε, οὐκ ἀρκεῖ σοι τῶν πεντήκοντα τριῶν χρόνων ὁ διωγμὸς ὃν ἐποίησας εἰς ἐμὲ ἐξεώσας με τοῦ σπηλαίου μου, ἀλλὰ καὶ νῦν βούλει με καὶ ταύτης ἐκδιῶξαι τῆς κατοικίας μου; οὐκ ἀκούω σου, οὐδ' οὐ μὴ ἐξέλθω. Καὶ βλεπόντων τῶν ἑστηκότων, ἐγένετο φαιδρά τις καὶ περικαλλὴς ἡ τοῦ ἁγίου ὄψις. Καὶ πολλὰ σπαράξαν καὶ διαταράξαν αὐτὸν τὸ τῆς κακίας δαιμόνιον, ἀπέστη ὡσεὶ καπνὸς ἀπὸ τοῦ στόματος τοῦ ἀνθρώπου, ὃς πεσὼν ἐπὶ τῆς γῆς, ἄφασίᾳ κατείχετο καὶ ἀφωνίᾳ, νεκροῦ μηδὲν διαφέρων· ἐπικαλεσαμένων δὲ τὰς εὐχὰς τοῦ ἱεροῦ γέροντος, καὶ τὴν

Athos Library
Αγιορειτική Βιβλιοθήκη

δι' αὐτῶν βοήθειαν τοῦ Θεοῦ, ἠγέρθη ἐῤῥωμένος καὶ σωφρονῶν, εἰπὼν τῷ ἰδίῳ ἀδελφῷ : Εὐχαριστῶ σοι κύριέ μου ἀδελφέ, ὅτι διὰ σοῦ ἐν καλῷ ἦλθον ὧδε, καὶ ταύτης ὡς ὁρᾷς ἔτυχον τῆς ἰάσεως.

23. Χαρᾷ τοίνυν καὶ δάκρυσι τὸ τίμιον αὐτοῦ ἀράμενοι λείψανον ἦεσαν ἐπὶ τὸ πλοῖον, καὶ εἰσελθόντες ἐν αὐτῷ, ἤνυον τὴν ὁδὸν αὐτῶν τὴν ἐπὶ βοῤῥᾶν παραπλέοντες τοῦ ὄρους πλευράν· κακ' οἰκονομίαν δὲ Θεοῦ ἔστη τὸ πλοῖον ἐν τῷ πελάγει, ἐν ἴσῳ γενόμενον τῆς μονῆς ἧς ἡ προσηγορία, τοῦ Κλήμεντος. Μὴ θαυμάσητε δὲ μονῆς ἀκούσαντες· ἡ γὰρ τῆς Θεοτόκου πρόῤῥησις ἤδη προβαίνειν ἤρξατο, καὶ τὸ δὴ λεγόμενον, ἀπὸ σταγόνος ὕδατος, τῆς τῶν κατοικούντων ἐνδείας εὐαριθμήτου καὶ ὀλιγότητος, εἰς πέλαγος αὔξειν ἄπειρον καὶ πλατυσμὸν καὶ πλῆθος τὸ νυνὶ φαινόμενον, ἡ τῶν καλῶν συνεργὸς ᾠκονόμησε πρόνοια. Ὅθεν εὐκαιρόν ἐστιν εἰπεῖν καὶ ἡμᾶς μετὰ τοῦ εἰπόντος, «ὡς καλοί σου οἱ οἶκοι Ἰακώβ, αἱ σκηναί σου Ἰσραήλ, ἃς ἔπηξεν ὁ Κύριος καὶ οὐκ ἄνθρωπος». Ἀπὸ ὥρας δὲ τρίτης ἕως ἐννάτης, καὶ κώπαις χρώμενοι, καὶ ἱστία ἐφαπλοῦντες, καὶ ἄνεμον ἐπιτήδειον ἔχοντες, μετακινῆσαι τοῦτο ἐκεῖθεν οὐκ ἴσχυον. Ὁρῶντες δὲ οἱ τῆς εἰρημένης μονῆς μοναχοὶ τὸ πλοῖον μὴ μετακινούμενον, καὶ τοὺς ἐν αὐτῷ ἀνάγκῃ καὶ βίᾳ χρωμένους τοῦ παραιτέρω προϊέναι, καὶ ἀστοχοῦντες, ἐθαμβοι ἐγένοντο· καὶ οἰκείῳ πορθμείῳ χρησάμενοι, ἀπῆλθον πρὸς αὐτοὺς καὶ ἐπυνθάνοντο παρ' αὐτῶν, τί ἂν θέλοι τοῦτο εἶναι· οὐκ ἠβούλοντο δὲ οὗτοι φανερῶσαι τὸ μυστήριον, ἀλλὰ πλασταῖς καὶ ψευδέσι χρώμενοι ἀπολογίαις, ἔσπευδον τὰ τοῦ πράγματος διασκεδάσαι. Ἐπιγνόντες δὲ οἱ μοναχοί, ὡς, οὐκ ἀληθῆ λέγουσιν ἀλλ' ἐπίπλαστα, μόνον ὡς ἔνευσαν τὸ πλοῖον πρὸς τὴν μονήν, καὶ εὐθὺς ἀφ' ἑαυτοῦ ἐπορεύθη ἐπὶ τὴν γῆν· ἐμβριμησάμενος δὲ αὐτοῖς ὁ προεστώς, καὶ ἀπειλαῖς σφοδροτάταις χρησάμενος, καταλεπτὸν ἔμαθε πάντα παρὰ τοῦ θηρευτοῦ. Εὐθὺς δὲ μετὰ κηρῶν καὶ λαμπάδων δραμόντες, ἦραν τὸ λείψανον καὶ κατέθεντο ἐν τῇ ἐκκλησίᾳ. Καὶ ἦν ἰδεῖν πᾶσαν νόσον δραπετεύουσαν τῶν τῆς μονῆς ἀδελφῶν καὶ τοὺς κακῶς ἔχοντας αὐθωρὸν ἰωμένους. Διαδραμοῦσα δὲ, ὥσπερ τις κήρυξ, ἡ φήμη, οὐ μόνον τοὺς ἐν τῷ Ἄθῳ Ὄρει συνήθροισε μοναχούς, ἀλλὰ καὶ πλήθη ἄπειρα τῆς περιχώρου· καὶ πάντες ἰῶντο καὶ ἐθεραπεύοντο, ὁπόταν κατείχοντο νοσήματι. Καὶ ἦν χιὼν μεγάλη καὶ ἀγαλλίασις ἔν τε τοῖς ἐν τῷ Ὄρει, καὶ πᾶσι τοῖς ἔξωθεν ἀθροισθεῖσι.

24. Καὶ μετὰ ταῦτα, οἱ κατὰ τὸν καιρὸν ἐκεῖνον ὄντες μοναχοί, λαβόντες τὸ ἅγιον λείψανον, ἤγαγον ἐν τῷ νάρθηκι τοῦ πανσέπτου ναοῦ τῆς πανυμνήτου Θεοτόκου, ἔνθα εἰώθεισαν τὰς ἐτησίους συνάξεις ἐπιτελεῖν. Καὶ ποιήσαντες ἀγρυπνίας καὶ ὑμνωδίας ἀκαταπαύστους μέχρις ἡμερῶν ἑπτά, κατέθεντο ἐν τῷ δεξιῷ μέρει τοῦ ναοῦ τῆς Δεσποίνης ἡμῶν Θεοτόκου, ἀλόη καὶ σμύρνῃ καὶ διαφόροις ἀρώμασι, μετὰ καθαρᾶς σινδόνος εἱλήσαντες· εἶχον δὲ αὐτὸ ἐν μεγάλῃ τιμῇ, ὅτι καὶ πάσας αὐτῶν τὰς νόσους ἐθεράπευε καὶ μαλακίας. Οὕτω μὲν οὖν τοῦ ἁγίου ἐν τοῖς ἁπάντων στόμασιν ὄντος, καὶ διαβοήτου τοῖς θαύμασι γενομένου, ὁ θηρευτὴς ἅμα τῷ ἰδίῳ ἀδελφῷ, τὰς εὐχὰς τῶν γερόντων εἰς ἐφόδιον αἰτησάμενοι, τὴν ὁδὸν αὐτῶν ἐπορεύθησαν χαίροντες· οἱ δέ γε μονάζοντες ἐκεῖνοι οἱ τῷ θηρευτῇ συναναβάντες ἐν τῷ σπηλαίῳ, κλοποφορῆσαι τὸ σῶμα τοῦ μεγάλου Πέτρου βουλευσάμενοι, ὑφάλῳ γνώμῃ καὶ κεκρυμμένῳ πλάσματι προσπεσόντες, λέγουσι τοῖς πατράσι : Γνωσιόν ἔστω ὑμῖν θεοφόροι πατέρες, ὡς οὐκ ἀφιστάμεθα τοῦ θησαυροῦ ὃν ὁ Κύριος ἀπεκάλυψεν ἡμῖν,

ἀλλὰ μετ' αὐτοῦ καὶ ὑμῶν τὰς λοιπὰς ἡμέρας ἡμῶν διανύσομεν. Καὶ τῶν πατέρων μάλα περιχαρῶς δεξαμένων τὸν λόγον, (ἦσαν γὰρ ὑπὲρ τὰς ἄλλας ἀρετὰς τῷ ἁπλάστῳ κοσμούμενοι), μικρὰς ἐκεῖνοι προσμείναντες ἡμέρας, εἰδότες ἔνθα τέθαπτο ὁ πατήρ, νυκτιλόχους ἐνέδρας ποιήσαντες, ὥσπερ τινὲς τυμβωρύχοι τῷ τάφῳ προσέδραμον, καὶ τοῦτον φόβῳ καὶ σπουδῇ διανοίξαντες, τὸ τίμιον ἔλαβον λείψανον, καὶ σὺν αὐτῷ δρομαῖοι τὸν αἰγιαλὸν πεφθακότες, ἐν ἀκατίῳ προστοιχηθέντι ἐμβάντες, τοῦ ὄρους φυγάδες ᾖχοντο.

25. Τούτων αὐτήκοος καὶ αὐτόπτης ὁ ταπεινὸς ἐγὼ γεγονὼς Νικόλαος, ἔσπευσα, εἰ καὶ μὴ πάντα, ἀλλ' οὖν ὀλίγα τινὰ ἐκθέσθαι καὶ τῷ παρόντι ἐντάξαι συγγράμματι, ὡς ἂν εἰδεῖεν οἱ μετέπειτα τοῦ κόσμου ἀνακεχωρηκότες, καὶ τῷ ὄρει τούτῳ προσορμισθέντες πῶς δεῖ περιπατεῖν αὐτούς, καὶ ποίας ἀντέχεσθαι πολιτείας, καὶ μεθ' οἵων ἀγώνων καὶ καμάτων καὶ πόνων, ἡ τῶν οὐρανῶν βασιλεία κληρονομεῖται· ὡς οἵ γε ἀναπεπτωκότες καὶ κατ' ἐμὲ ῥᾳθυμοῦντες, καὶ μέγα τοῦτο μόνον ἡγούμενοι τὸ ῥαγῆναι τοῦ κόσμου καὶ τῶν ἐν κόσμῳ, τὰ δὲ ἄλλα ἀδεῶς διαπράττοντες, ἤγουν ἐπικτήσεις σκευῶν ποικίλων καὶ πολυτίμων, καὶ ἀγρῶν καὶ κτημάτων καὶ τῶν ἄλλων, ἃ τοῖς φιλοκόσμοις καὶ φιλομερίμνοις εἰσὶ περισπούδαστα πρὸς τὸ μηδὲν ἑαυτοὺς ὠφελῆσαι, καὶ τοὺς ἀκούοντας καὶ τοὺς ὁρῶντας τὰ μέγιστα παραβλάπτουσι, καὶ βλασφημεῖσθαι δι' αὐτῶν τὸ τοῦ Θεοῦ παρασκευάζουσιν ὄνομα, πολυκτήμονες ἀντὶ ἀκτημόνων, ὀνομαζόμενοι, καὶ τοῦ τῆς γῆς πλούτου κύριοι, καὶ τοῦ οὐρανίου πλούτου ἀλλότριοι. Ἀλλὰ μὴ γένοιτό τινα τῶν ἀψευδῶς ἀποτασσομένων τῷ βίῳ, τὴν ἐναντίαν τῶν ἐντολῶν πορεύεσθαι· τὴν στενὴν δὲ μᾶλλον προτιμᾶν τῆς πλατείας, καὶ τὴν πενίαν τοῦ πλούτου, καὶ τῆς δόξης τὴν ἀδοξίαν, καὶ τῆς παρούσης χαρᾶς τὴν νομιζομένην ἐπίπονον καρτερίαν· ἵνα καὶ τῷ παρόντι βίῳ τὸ φῶς αὐτῶν τοῦ βίου διαυγάσῃ, καὶ ἐν τῷ μέλλοντι τὴν ἀναφαίρετον κληρονομήσωσι βασιλείαν, ἧς οὐδὲν τῶν ἐνταῦθα ποθεινότερον ἢ τιμιώτερον τοῖς γε νοῦν ἔχουσι, καὶ τὴν ἀλήθειαν προτιμῶσι τοῦ ψεύδους. Ἀλλ' ἐπαναληπτέον αὖθις τὸν λόγον, καὶ διηγητέον τὰ μετὰ τὴν κλοπὴν τοῦ λειψάνου τοῦ θεοφόρου πατρὸς γενόμενα θαύματα.

26. Ἄραντες τοίνυν οἱ μοναχοί, καθ' ὃν εἶπον τρόπον τὸ σῶμα, κατήχθησαν εἴς τι χωρίον Φώκομιν, τελοῦν ὑπὸ τὸ θέμα Θράκην· ἦν δὲ πλησίον τούτου πηγὴ καὶ παρ' αὐτῇ τὸ ἄριστον ἑτοιμάσαντες, τὴν μὲν πήραν ἐν ᾗ τὸ σῶμα τεθησαύριστο τοῦ ἁγίου, παρὰ φυτοῦ κλάδων ἀπηώρησαν ἐλαίας· αὐτοὶ δὲ αὐτοσχεδίῳ καὶ λιτῇ χρησάμενοι τραπέζῃ, εὐχαριστήσαντες ἤσθιον. Οὕπω δὲ τὰ μέσα τοῦ ἀρίστου τούτων ἐχόντων, ἰδοὺ παμπληθεὶ οἱ τῆς χώρας οἰκήτορρες, μετὰ γυναικῶν καὶ παίδων ἔρχονται ἑκατοὺς σπαράσσοντες καὶ ἀλαλάζοντες, καὶ Πέτρον τὸν μέγαν ἀπὸ τοῦ Ἄθω ἐληλυθότα ἐπικαλούμενοι· τὸν δὲ τρόπον τῆς τοιαύτης αὐτῶν ἀλλοιώσεως, οὐ κατοκνήσω διηγήσασθαι. Στοά τις ἦν ἀρχαία τῆς κρήνης ἐγγὺς ἐν ᾗ οἱ μοναχοὶ ἑαυτοὺς ἔψυχον, οὐ μόνον ὕψει ὑπερφερὴς καὶ πλάτει ὑπερμεγέθης, ἀλλὰ καὶ ἐπιμήκης, ἥτις τῷ χρόνῳ τῇ ὕλῃ καταχωσθεῖσα, οἰκητήριον γέγονε δαίμονος χιλιάρχου, ὃς μετὰ τῶν ὑπὸ χεῖρα τοσαῦτα ἐκεῖσε διέπραττεν, ὡς μὴ μόνον ἀνθρώπους διαφθείρειν καὶ δαίμοσιν ὑποβάλλειν, ἀλλὰ καὶ ὄνους καὶ κύνας καὶ βόας καὶ τὰ λοιπὰ τῶν κτηνῶν ἀποπνίγειν· καὶ πολλὴ θλῖψις ἐν τῇ χώρᾳ καὶ ἀδημονία ἦν περὶ τούτου. Οὗτοι τοίνυν ἅμα τὸ πλησιάσαι αὐτοῖς τὸ λείψανον τοῦ ἁγίου, ἔφυγον μὲν ἀπὸ τῆς στοᾶς, ἐπεισέφρησαν δὲ ἐν τῇ κώμῃ ἐκείνῃ, καὶ πάντας ἐνθουσιᾶν καὶ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

διαταράττεσθαι τοὺς ἐν αὐτῇ κατοικοῦντας ἐποίουν· ὡς δὲ τῷ φυτῷ καὶ τῇ πήρᾳ σπαραγμῷ καὶ κραυγῇ προσεπέλασαν, ἣν ἰδεῖν θαῦμα τῶν πάλαι θαυμάτων παραδοξότερον· εὐθὺς ἀποσπάντα τὰ δαιμόνια τῶν ἀνθρώπων, καὶ θρηνητικῶς ὀλολύζοντα, τῆς περιχώρου ἐκείνης ἐλαύνεσθαι. Τίς δὲ καταλεπτὸν ἐξείποι, ἢ γραφῇ διασαφῆσοι τῶν γενομένων τότε θαυμάτων τὰ ὑπὲρ ἄμμον πλήθη; μύρου γὰρ εὐωδεστάτου πλῆρες γενόμενον παραυτίκα τὸ λείψανον, ἣν ἰδεῖν τῇ τούτου προσψαύσει δαιμονιῶντας σωφρονοῦντας, τυφλοὺς ὁρῶντας, λεπροὺς καθαιρουμένους, χωλοὺς ἄρτια βαδίζοντας, καὶ ἁπλῶς πάσης πάντας ἀσθενείας ἀπηλλαγμένους, ἐν οἷς καί τις ἀνὴρ ἐν ὅλοις ἔτεσιν ὀκτὼ κλινήρης ἐπὶ τῆς οἰκίας κείμενος, μετὰ κραυγῆς ἠντιβόλει τοὺς κατὰ τὴν λεωφόρον τρέχοντας, ἐπὶ τὴν θαυματουργὸν ἐκείνην πήραν τὴν παρὰ πᾶσιν ᾠδομένην τοῦτον ἀπαγαγεῖν, οἱ δὲ μᾶλλον τοῦ δρόμου εἴχοντο, ἢ ἐκείνου ἤκουον· παραθεωρουμένου δέ, μᾶλλον καὶ μᾶλλον ἤλγει καὶ ἐδυσχέραινεν. Ὡς δὲ ἤδη ἀπείρηκε, τινὰ πρὸς οἶκτον μὴ ἐπισπώμενος, ἰδοὺ οἱ ἀπὸ τοῦ οἴκου αὐτοῦ εὐεκτοῦντες, ὑποστρέψαντες καὶ σωφρονοῦντες ἀπὸ τῆς μετὰ τῶν ἄλλων ἐπελθούσης αὐτοῖς ἐπιθέσεως τῶν δαιμόνων, ἐν τάχει διαβαστάσαντες τοῦτον μετὰ τῆς κλίνης, πρὸς τὴν πηγὴν ἐπορεύοντο τῆς ὑγείας· καὶ ἅμα τὸ πλησίον γενέσθαι, ἤλλατο τῆς κλίνης, εὐθὺς καὶ εἷς τῶν ὁδοιπορούντων ἐγένετο, οὓς καὶ προλαβών, καὶ τῷ Ἁγίῳ περιχαρείας δάκρυσι προσπεσών, πάντων εἰς αὐτὸν θεωρούντων, ἄρτιος τοῦ ἐδάφους ἠγέρθη καὶ ὑγιής, ἠχόν τινα φοβερὸν καὶ τρισμὸν τῶν ἄρθρων αὐτοῦ τῇ ἐγέρσει ἀποτελεσάντων. Καὶ πάντες ἔδωκαν δόξαν τῷ Θεῷ, μετὰ τῶν ἄλλων ἰδόντες καὶ τὸ φρικτὸν τοῦτο θέαμα.

27. Φήμης δὲ καθ' ὅλης τῆς περιχώρου διαδραμούσης, ἦν ἰδεῖν συῤῥέοντα τὰ τῶν πλησιοχώρων πλήθη, οἳ τοὺς ἀῤῥώστους αὐτῶν ἐπὶ κραββάτοις φέροντες, ἐῤῥωμένους καὶ ὑγιεῖς ἰδίοις ποσὶ βαδίζοντας εἰς τὰ οἰκεῖα διέσωζον· γνωστὸν δὲ τῷ τῆς πόλεως ἐπισκόπῳ γενόμενον, λαβὼν πάντα τὸν κλῆρον αὐτοῦ μετὰ θυμιαμάτων καὶ κηρῶν, σταυροὺς ταῖς χερσὶ καὶ τὸ ἅγιον βαστάζοντας εὐαγγέλιον, τὸ χωρίον κατέλαβον ἔνθα τὸ ἱματοφόρον ὑπῆρχε τοῦ ὁσίου λείψανον, καὶ ὡς ἀπὸ σημείου ἑνός, τιμῆς ἕνεκεν προσηκούσης, κεκλιμένως ἐβάδιζον ἕως ἐλθόντες ἔστησαν ἐν τῇ κλίνῃ· καὶ ποιήσαντες εὐχὴν ἐκτενῆ, περιεπτύξατο τὸ λείψανον πρῶτον μὲν ὁ ἐπίσκοπος εἶθ' οὕτως οἱ καθ' ἑξῆς· καὶ ὥρας οὐκ ὀλίγας προσκαρτερήσαντες, εἶδον θαυμάτων ἄβυσσον προϊοῦσαν, καὶ ἐξεθαμβήθησαν, καὶ δάκρυσι βρέχοντες τὰς παρειὰς τὸ, Κύριε ἐλέησον, ἔκραζον, καὶ τὸ, δόξα σοι ὁ Θεὸς ὁ ποιῶν τὰ παράδοξα θαύματα διὰ τῶν εὐαρεστούντων σοι. Μετὰ δὲ ταῦτα πρὸς ἑαυτὸν καλέσας τοὺς μοναχοὺς ὁ ἐπίσκοπος, λέγει παρακλητικῶς αὐτοῖς : Δέομαι ὑμῶν ἀδελφοί, χαρίσασθαι ἡμῖν τὸν θεῖον τοῦτον καὶ χρυσοῦ παντὸς τιμιώτερον θησαυρόν, καὶ οἰκοδομήσας οἶκον εὐκτήριον, ἐν αὐτῷ τοῦτον περιστελῶ εἰς μνήμην ὑμῶν καὶ λύτρον τῶν ἐμοὶ πεπλημμεληκότων ἐν τῷ παρόντι βίῳ, καὶ ταύτης ἕνεκεν τῆς χάριτος, λήψεσθαι παρ' ἐμοῦ νομίσματα ἑκατόν· οὐ γὰρ ἀνέχομαι τοιοῦτον μαργαρίτην πολύτιμον ὧδε κἀκεῖσε περιέρχεσθαι, ἢ τὸν λύχνον ὑπὸ τὸν μόδιον κρύπτεσθαι καὶ τὰς ἀκτῖνας συστέλλειν τῆς χάριτος. Οἱ δὲ μοναχοὶ μηδὲ ἄκροις ὠσὶ τὰ ῥηθέντα θελήσαντες παραδέξασθαι, ἔμειναν ἀντιπίπτοντες, καὶ μὴ μεθήσειν φάσκοντες, κἂν χρυσοῦ ὑπόσχοιτο χίλια τάλαντα· ὡς δὲ τῇ ἐξουσίᾳ χρησάμενος τούτοις ἐνεβριμήσατο ὁ ἐπίσκοπος ἅμα τῷ λοιπῷ καταλόγῳ τῶν ἱερέων, ἐὰν μὴ ταῦτα βούλησθε λαβεῖν εἰρηκότες, ἀπέλθετε τῶν ὧδε κεναῖς ταῖς χερσί, καταπειθεῖς γεγόνασι καὶ ὑποκλινεῖς. Καὶ τὰ ἑκατὸν εἰληφότες νομίσματα, μετὰ καί τινων ἄλλων εἰδῶν, ἐπορεύθησαν πρὸς τὰ τῆς ἀνατολῆς μέρη· τὴν μὲν τοῦ ὁσίου στέρησιν ὀδυρόμενοι, τῇ δὲ ποσότητι τοῦ χρυσίου, μικρὸν τὴν λύπην παραμυθούμενοι.

28. Ἀναχωρησάντων δὲ τούτων, ἰδού τις δαιμονῶν ἔτρεχε, βοῇ χρώμενος ἀνυποστάτῳ, καὶ Πέτρον τὸν ἀπὸ Σχολαρίων ἀνακαλούμενος· οὐκ ἀρκετὸν ἐφάνη σοι, λέγων, τὸ τῆς ἐμῆς κατανομῆς καὶ τοῦ Ὄρους διῶξαι, ἐν ᾧ ὢν ἔσπευδον πλανᾶν τοὺς μοναχούς κατὰ τὸν κόσμον ἔρχεσθαι, ἀλλὰ καὶ ὧδε παραγέγονας, τῆς μικρᾶς ταύτης βουλόμενος ἐξορίσαι με κατοικίας καὶ ἀναπαύσεως; ἄρτι σου τὸ σῶμα πυρίκαυστον ποιῶ πάντων ὁρώντων, εἰ μὴ ἐάσῃς με· ἦν δὲ κατέχων ὁ ἄνθρωπος λαμπάδας πυρὸς ἐν ἑκατέραις ταῖς χερσί, καὶ ὡς μόνον ὥρμησε ταύτας ἐν τῷ λειψάνῳ θεῖναι, γέγονέ τις ψόφος καὶ ἦχος βίαιος, καὶ παραχρῆμα ὡς ἀστραπὴ πυρὸς ἀπέπτη τοῦ ἀνθρώπου ὁ δαίμων θρηνητικῶς τὸν ἀέρα περιερχόμενος. Δοξασάντων δὲ πάντων κἂν τούτῳ τὸν φιλάνθρωπον Κύριον, λαβὼν τὸ λείψανον ὁ ἐπίσκοπος ἅμα τῷ κλήρῳ ἐν τῷ ἐπισκοπείῳ ἦγαγον· κἀκεῖσε διαφόρων ἀσθενειῶν διάφοροι τῶν συῤῥεόντων ἀπαλλαγέντες, ἐν πολυτίμῳ λάρνακι, μύροις τοῦτο κατετίθεσαν, καὶ πρὸς τῇ ἐκκλησίᾳ ἐκόμισαν, καὶ ἐπὶ τρισὶ νυχθημέροις δοξολογίας ποιήσαντες, οὕτως ἕκαστος φόβῳ καὶ χαρᾷ σύμμικτοι, εἰς τὰ ἴδια ἴεσαν. Μέχρι δὲ τοῦ νῦν ἰάσεις ἐκεῖσε ἐπιτελοῦνται πολλαὶ εἰς δόξαν τῆς Παναγίας καὶ Ὁμοουσίου Τριάδος, καὶ τιμὴν τοῦ ὁσίου πατρὸς ἡμῶν.

29. Τούτων ἀκούσαντες ἀδελφοὶ καὶ πατέρες ἐν πλαξὶ καρδίας πάντα γράψωμεν καὶ ποιήσωμεν, καὶ τῶν πρὸ ἡμῶν πατέρων τὸν ἀκηλίδωτον βίον καὶ μικροῦ δεῖν ἄσαρκον καὶ ἀσώματον, ταῖς ἡμετέραις ψυχαῖς ἐντυπώσαντες, κλαύσωμεν καὶ θρηνήσωμεν τὸ χαῦνον ἡμῶν εἰδότες, καὶ πρὸς πᾶν ἀγαθὸν μαλακὸν καὶ ἀναδυόμενον. Ἐκεῖνοι γὰρ ἅπαξ κόσμου καὶ τῶν ἐν κόσμῳ ἀπαλλαγέντες, οὐκέτι περὶ τὰς κοσμικὰς ματαιοπονίας ἑαυτοὺς ἀπησχόλησαν· ἀλλ' ὁσημέραι πυρὶ προσλαμβάνοντες πῦρ, καὶ ταῖς ἀναβάσεσιν ὥσπερ θεούμενοι, τὰ κάλλη τῶν ὁρωμένων καὶ τοῦ βίου τὴν εὐθηνίαν, ὡς σκιὰν παρέτρεχον, καὶ τὰς μερίμνας καὶ φροντίδας καὶ τἆλλα, οἷς οἱ φιλοκτήμονες καὶ φιλόϋλοι ἥδονται, ὡς ἐμπόδιον τῶν ἀρετῶν ἀπεστρέφοντο, μονολόγιστον κεκτημένοι διαγωγὴν καὶ μονότροπον, τὴν δυσεύρετον καὶ σπανίοις ἄρτι γινωσκομένην, ἵνα μὴ λέγω περατουμένην· οὐ γὰρ τρυφῆς ἐπεμελῶντο, οὐ χιτῶσιν ἐπετέροντο, ἢ σωματικὴν ἐζήτουν ἀνάπαυσιν, οὐδὲ κτήσεις ἐπόθουν καὶ ἐπικτήσεις καὶ πλατυσμοὺς καθάπερ ἡμεῖς, ἀλλ' εἰς ὀσμὴν μύρου ἔτρεχον τοῦ νοητοῦ, ὅ ἐστι Χριστὸς ἡ ζωὴ καὶ τὸ φῶς, καὶ παρ' αὐτοῦ τὰς οὐρανίους ἐδέχοντο τρυφὰς καὶ παρακλήσεις, ὧν κόρος τοῖς γευσαμένοις οὐκ ἔστιν· ὅθεν καὶ τοιαύτας εἰλήφασι χάριτας, καὶ κατὰ παθῶν καὶ δαιμόνων τὰ νικητήρια ἔχουσιν.

30. Ἴδε οὖν πᾶς ὁ τοῦ θεαρέστου τούτου βίου ἀκροατὴς οἷον φωστῆρα τηλαυγῆ καὶ παγκόσμιον τὸ καθ' ἡμᾶς τοῦτο θεῖον Ὄρος ἐξήνεγκεν, ὃς ἀγρυπνίᾳ καὶ πόνῳ καὶ γυμνότητι καὶ ἀσιτίᾳ διηνεκεῖ καὶ πένθει καὶ συντριβῇ καρδίας ἐν ὅλοις ἔτεσι πεντήκοντα καὶ τρισὶν ἑαυτὸν ἐκδυσάμενος, ἀνώτερος γέγονε καὶ λογισμῶν καὶ παθῶν καὶ δαιμόνων, καὶ εἰς αὐτὸ πέφθακε τὸ τῶν ὁρεκτῶν ἔσχατον, τὴν ἄκραν λέγω πρὸς τὸν Θεὸν ἀγάπην, καὶ τὴν πρώτην καὶ μόνην μακαριότητα. Ἧς ἀξιωθείημεν καὶ ἡμεῖς ἔργῳ τὴν τούτου πολιτείαν μιμούμενοι, καὶ τοῖς κατὰ Θε-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ὸν προτερήμασιν ἐγκαλλωπιζόμενοι, ἵνα καὶ τῶν ὁμοίων αὐτῷ γερῶν ἐπιτύχωμεν παρὰ τῆς ἀεννάου πηγῆς τοῦ Σωτῆρος ἡμῶν. Ὧ πρέπει πᾶσα δόξα τιμὴ καὶ προσκύνησις σὺν τῷ ἀνάρχῳ Πατρὶ καὶ τῷ ζωοποιῷ καὶ παναγάθῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΤΟΥ ΑΓΙΟΥ ΟΡΟΥΣ

ΕΙΚΩΝ ΑΝΕΥ ΕΙΚΟΝΟΣ

(Ἐξ ὅσων εἶδα κατὰ τὴν περιοδείαν μου)



Ἡ ἐν τῷ Πρωτάτῳ τῶν Καρυῶν εἰκὼν τῆς Θεοτόκου τοῦ «Ἄξιόν ἐστιν»

Ὁ Κύριος ἐπέτρεψεν ὅπως καὶ δι' ἔκτην φορὰν ἐπισκεφθῶ τὴν ἰδιοκτησίαν τῆς Κυρίας ἡμῶν Θεοτόκου, τὸ ἁγιώνυμον Ὄρος. Ἐπιθυμῶ ὅπως κάμω γνωστόν, χάριν ἐντρυφήματος μᾶλλον ἢ ὠφελείας, εἰς τοὺς ἀναγνώστας τοῦ παρόντος περιοδικοῦ μερικὰ πράγματα, ἅτινα πρέπει νὰ ἔχωσιν ὑπ' ὄψιν οἱ ἐπισκεπτόμενοι τὸ ἅγιον Ὄρος, διὰ τοῦτο τὸ παρὸν δημοσίευμα δύναται νὰ ἐπέχῃ καὶ θέσιν προχείρου ὁδηγοῦ δι' αὐτούς.

Ἐπαναλαμβάνω διὰ νὰ ὑπομνήσω ὅσα ἀνέφερον κατὰ τὰς ἐντυπώσεις μου τὰς δημοσιευθείσας εἰς τὸ γ΄. ἔτος τῆς «Ἁγιορειτικῆς Βιβλιοθήκης» ὅτι εἶναι ἀνάγκη πάντες οἱ ὀρθόδοξοι χριστιανοὶ νὰ ἐπισκεφθοῦν τὸ ἅγιον Ὄρος μὲ τὴν βεβαιότητα ὅτι θὰ ἀποκομίσουν ἐκ τῆς ἐπισκέψεως ταύτης μεγάλας πνευματικὰς ὠφελείας. Δὲν εἶναι ζήτημα ἐξόδων τόσον, ὅσον ζήτημα ἀποφάσεως. Διότι τὰ κυρίως ἔξοδα εἶναι μόνον διὰ τὴν μετάβασιν καὶ ἐπιστροφήν. Ἡ δὲ μετάβασις γίνεται ἢ ἀτμοπλοϊκῶς μέχρι τῆς Δάφνης ἢ σιδηροδρομικῶς μέχρι Θεσσαλονίκης καὶ ἐκεῖθεν δι' αὐτοκινήτου μέχρις Ἱερισσοῦ, εἶτα εἰς τὴν παραλίαν τῆς Τρυπητῆς καὶ διὰ βενζινοπλοίου κατόπιν εἰς Δάφνην. Ἡ διὰ θαλάσσης συγκοινωνία ἐνεργεῖται ἅπαξ τῆς ἑβδομάδος, διὰ ξηρᾶς δὲ καθημερινῶς. Ἀπὸ τῆς Δάφνης μέχρι τῶν Καρυῶν (πρωτεύουσαν τοῦ ἁγίου Ὄρους, ἔνθα μένει ἡ ἱερὰ Κοινότης τῶν εἴκοσιν ἱερῶν Μονῶν καὶ ἡ ἀστυνομικὴ ἀρχὴ) εἶναι 2 1)2 ὧραι καὶ δύναταί τις νὰ μεταβῇ πεζῇ ἂν ἔχῃ πράγματα θὰ πάρῃ ζῶον ἀπὸ τὴν Δάφνην καὶ θὰ πληρώσῃ 40—50 δραχ. Εἰς Καρυάς, ἀφοῦ διέλθῃ ἐκ τῆς ἀστυνομίας καὶ πάρῃ σημείωμα ὅτι εἶναι καλὸς ἄνθρωπος καὶ δύναται νὰ ἐπικοινωνήσῃ ἐλευθέρως, θὰ μεταβῇ εἰς τὴν ἱερὰν Κοινότητα νὰ πάρῃ τὸ διαμονητήριον πληρώνων διὰ χαρτόσημον 50 δραχ. αἵτινες δίδονται πρὸς ἐνίσχυσιν τῆς ἐν ἁγίῳ Ὄρει Ἀθωνιάδος Σχολῆς. Τὸ διαμονητήριον αὐτὸ εἶναι ἕνα συστατήριον ἔγγραφον τῆς ἱερᾶς Κοινότητος πρὸς ἁπάσας τὰς μονὰς καὶ λοιπὰ καθιδρύματα καὶ διὰ τοῦ ὁποίου συνίσταται ὁ ἐπισκέπτης πρὸς τὴν ἱερὰν μονὴν νὰ γίνῃ δεκτὸς καὶ νὰ τῷ παρασχεθῇ κάθε περιποίησις καὶ εὐκολία, ὅσον ἀφορᾷ τὴν γενικὴν ἐπίσκεψιν τῆς μονῆς, τὸν ἀσπασμὸν τῶν ἱ. θαυματουργῶν εἰκόνων καὶ ἁγίων λειψάνων ἢ ἂν θέλουν οἱ ἐκ τῶν ἐπισκεπτῶν λόγιοι νὰ ἀντιγράψουν διάφορα θέματα ἀπὸ διαφόρους Κώδικας κλπ. Εἶτα κατὰ τὴν ἀναχώρησίν του, ἐὰν ἡ μονὴ εἰς ἣν πρόκειται νὰ μεταβῇ εἶναι μακράν, θὰ τῷ παράσχῃ τὰ μέσα νὰ μεταβῇ ἐκεῖ διὰ ζώου ἢ διὰ λέμβου (ἐὰν εἶναι παραθαλασσίως αἱ μοναί.)

Τὰς εὐκολίας αὐτὰς παρέχει τὸ μεγάλο διαμονητήριον, τῶν 50 δραχμῶν. Ὑπάρχει ὅμως καὶ τὸ μικρὸν διαμονητήριον, τὸ ὁποῖον χορηγεῖται δωρεάν. Αὐτὸ δίδεται εἰς τοὺς ἐργατικούς, οἵτινες μεταβαίνουν εἰς ἅγιον Ὄρος δι' ἐργασίαν καὶ πρόκειται νὰ παραμείνουν ἐπὶ μακρόν. Τὸ μεγάλο ἐπίσης διαμονητήριον δίδεται δωρεὰν εἰς τοὺς φοιτητὰς καὶ μαθητὰς διαφόρων ἀνωτέρων σχολῶν οἵτινες μεταβαίνουν ἐκεῖ διὰ συγγραφικήν τινα ἐργασίαν θρησκευτικὴν ἢ φιλολογικὴν ἢ καὶ ἁπλῶς νὰ προσκυνήσουν.

Κατὰ τὴν ἐπίσκεψιν τῶν διαφόρων μονῶν, δὲν ἀπαιτοῦνται διόλου ἔξοδα οὔτε δὲ κεριὰ διὰ νὰ ἀνάψῃ κανείς, διότι ἡ φιλοξενία ἐφαρμόζεται πλουσιωτάτη καὶ πρόθυμος. Μόνον προκειμένου ν' ἀσπασθῇ τις τὰ ἅγια λείψανα δύναται, ἐὰν θέλῃ, νὰ προσφέρῃ ἐλάχιστόν τι εἰς τὸν ἱερέα, ἀλλὰ καὶ αὐτὸ τὸ ἐλάχιστον περιέρχεται εἰς τὴν μονήν, διότι ὅλοι οἱ πατέρες, πρὸ παντὸς τῶν κοινοβίων, δόξα τῷ Θεῷ, διατηροῦν πλήρη ἀκτημοσύνην. Μ' ὅλον τοῦτο δὲν ἐμποδίζεται εἰς τοὺς χριστιανοὺς νὰ προσφέρουν μικρὸν ἢ μέγα ποσὸν εἰς μίαν μονὴν ἢ ἄλλο καθίδρυμα κατόπιν τάμματος ἢ πρὸς ὄφελος τῆς ψυχῆς των.

Ἄλλο ἔξοδον ἐν ἁγίῳ Ὄρει εἶναι τοῦτο. Ἐάν τις προσκυνητὴς θελήσῃ ἀντὶ διὰ ξηρᾶς, νὰ μεταβῇ θαλασσίως πρὸς ἀπόλαυσιν καὶ θαυμασμὸν τοῦ ἁγίου Ὄρους κατὰ μῆκος τῆς παραλίας ἀφ' ἑνὸς καὶ τῆς θαλάσσης τοῦ Αἰγαίου πελάγους ἀφ' ἑτέρου, θὰ χρειασθῇ νὰ μεταβῇ διὰ τοῦ βενζινοπλοίου τοῦ ἐκτελοῦντος τὴν συγκοινωνίαν τοῦ ἁγίου Ὄρους μεταξὺ τῶν διαφόρων μονῶν, ὁπότε θὰ πληρώσῃ ἐξ ἰδίων του.

Αὐτὰ ὅμως εἶναι διὰ τοὺς ἔχοντας περισσὰ χρήματα καὶ θέλοντας νὰ ἱκανοποιήσουν τόσον τὴν ψυχὴν ὅσον καὶ τὴν ὅρασιν. Ἐκεῖνοι ὅμως οἱ χριστιανοί, οἵτινες

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἔχουν μετρημένα τὰ χρήματά των, ἢ μᾶλλον στεροῦνται ἄλλων ἀναγκαίων πραγμάτων διὰ νὰ οἰκονομήσουν τὸ μικρότερον ποσόν, ἡ τοιαύτη ἐπίσκεψις δι' αὐτοὺς θὰ εἶναι πολυτέλεια. Ἂς γνωρίζουν ὡσαύτως καὶ τοῦτο· ὅσον περισσότερον δυνηθοῦν νὰ δαδίσουν πεζῇ καὶ ὅσον περισσότερον κόπον καταβάλλουν ἢ ἱδρῶτα χύσουν, ἡ πνευματικὴ ὠφέλεια δι' αὐτοὺς θὰ εἶναι πολὺ μεγαλυτέρα ἐκείνων, οἵτινες διαθέτουν πλούσια τὰ μέσα τῆς μεταβάσεώς των ἀπὸ μονῆς εἰς μονήν. (*)

Προκειμένου νὰ μεταβῇ τις εἰς ἅγιον Ὄρος, πρέπει νὰ ἔχῃ μαζί του πιστοποιητικὸν ἢ δελτίον ταυτότητος μὲ τὴν φωτογραφίαν του, μόλις δὲ φθάσῃ εἰς Δάφνην, μὲ τὸ πλοῖον ἢ βενζινόπλοιον, πρέπει νὰ τὸ ἔχῃ εἰς χεῖράς του καὶ τὸ ἐπιδείξῃ εἰς τὸν Ἀστυνομικὸν Σ αθμάρχην τῆς Δάφνης, ὅστις ἀνέρχεται πρῶτος ἐπὶ τοῦ ἀτμοπλοίου καὶ παίρνει ὅλων τὰ πιστοποιητικὰ πρὸς ἔλεγχον. Εἰς τὸν μὴ ἔχοντα πιστοποιητικὸν δὲν ἐπιτρέπεται ἡ ἔξοδος ἐκ τοῦ ἀτμοπλοίου. Εἶναι περιττὸν ν' ἀναφέρωμεν, καθ' ὃ γνωστὸν τοῖς πᾶσι, ὅτι εἰς γυναῖκας ἐπ' οὐδενὶ λόγῳ ἐπιτρέπεται ἡ ἐπίσκεψις τοῦ ἁγίου Ὄρους.

Ἐξερχόμενος ὁ προσκυνητὴς τοῦ ἀτμοπλοίου, θὰ καθίσῃ εἰς τὸ μόνον καφενεῖον τῆς Δάφνης νὰ πάρῃ τὸν καφέ του ἢ καὶ νὰ τσιμπήσῃ κἄτι ἂν ἔχῃ ὄρεξιν. Ἐν τῷ μεταξὺ, ἐὰν ἔχῃ πράγματα καὶ δὲν ἠμπορεῖ νὰ μεταβῇ πεζὸς εἰς Καρυάς, θὰ συμφωνήσῃ ἕνα ἀγωγεῖα ἀπὸ τοὺς ὡρισμένους ποὺ εὑρίσκονται ἐκεῖ διὰ τοὺς προσκυνητὰς καὶ οὗτος, λαϊκὸς ἢ μοναχός, θὰ φορτώσῃ τὰ πράγματά του καὶ θὰ εἶναι ἕτοιμος. Κατόπιν θὰ κληθῇ ὁ ἐπισκέπτης παρὰ τοῦ Σταθμάρχου εἰς τὸ γραφεῖόν του ὅπου θὰ δηλώσῃ τὴν ταυτότητά του καὶ ἀφοῦ καταχωρηθῇ τὸ ὄνομά του μὲ ὅλα τὰ σχετικὰ εἰς εἰδικὸν πρὸς τοῦτο βιβλίον, θὰ τῷ ἐπιστραφῇ τὸ πιστοποιητικόν του καὶ θὰ ἐκκινήσῃ ἐλευθέρως διὰ τὰς Καρυάς. Ἡμίσειαν ὥραν ἄνωθεν τῆς Δάφνης εὑρίσκεται ἡ ἱερὰ μονὴ Ξηροποτάμου. Θὰ διέλθῃ ὁ προσκυνητὴς πολὺ πλησίον αὐτῆς (ἀπὸ τὴν αὐλήν της), δὲν θὰ εἶναι δυνατὸν ὅμως νὰ τὴν ἐπισκεφθῇ, διότι δὲν θὰ ἔχῃ τὸ διαμονητήριον καὶ οὕτω ἄνευ χρονοτριβῆς θὰ φθάσῃ εἰς Καρυάς. Μόλις φθάσῃ ἐκεῖ, ἡ πρώτη του ἐργασία εἶναι νὰ μεταβῇ εἰς κάποιο ὑπαίθριον φωτογραφεῖον νὰ βγάλῃ 3 φωτογραφίας μικράς. Κατόπιν θὰ μεταβῇ εἰς τὴν Ἄστυν. Διοίκησιν καὶ θὰ παραδώσῃ τὰς φωτογραφίας μὲ τὸ πιστοποιητικόν του, ὁ δὲ ἐντεταλμένος πρὸς τοῦτο Ἀστυνομικὸς ὑπάλληλος θὰ τῷ δώσῃ σημείωμα πρὸς τὴν ἱερὰν Κοινότητα, θὰ τῷ ἐπιστρέψῃ δὲ καὶ πάλιν τὸ πιστοποιητικόν του. Τὸ σημείωμα αὐτὸ θὰ τὸ δώσῃ εἰς τὴν ἱερὰν Κοινότητα, ἥτις θὰ τὸν ἐφοδιάσῃ μὲ τὸ διαμονητήριον, τὸ μικρὸν δωρεὰν ἢ τὸ μεγάλο ἀντὶ 50 δραχ. Ἀπ' ἐδῶ καὶ πέρα πλέον ἔχει τὸ δικαίωμα νὰ μεταβῇ ἐλεύθερα εἰς ὁλόκληρον τὸ ἅγιον Ὄρος ὅταν θέλῃ καὶ ὅπως θέλῃ.

Ὅστις δὲν εἶναι ἐν τάξει μὲ τὴν δικαιοσύνην, πρέπει νὰ γνωρίζῃ ὅτι δὲν δύναται νὰ ἐπιτραπῇ εἰς αὐτὸν ἡ μετάβασις ἐκεῖ, διότι ἡ Διοίκησις Καρυῶν κρατεῖ βιβλίον κατακλιωκομένων, εἰς τὸ ὁποῖον εὑρίσκονται ὅλοι γενικῶς οἱ κατακλιωκόμενοι δι' οἱανδήποτε ἀφορμὴν καὶ αἰτίαν, ἕως ὅτου τοιοῦτος ὅστις θὰ τολμήσῃ νὰ μεταβῇ ἐκεῖ δι' οἱονδήποτε λόγον, συλλαμβάνεται ἀμέσως καὶ ὁδηγεῖται εἰς Θεσσαλονίκην διὰ τὰ περαιτέρω.

Προκειμένου τώρα ὁ προσκυνητὴς νὰ ἀρχίσῃ τὴν περιοδείαν του, τίθεται εὐθὺς εἰς αὐτὸν τὸ δίλημμα, ἀπὸ ποῦ νὰ ἀρχίσῃ καὶ ποῦ νὰ τελειώσῃ. Διὰ τοῦτο πρέπει ἐκ τῶν προτέρων νὰ κάμῃ πρόγραμμα. Δύναται λοιπὸν νὰ κάμῃ τὸ πρόγραμμα αὐτὸ ἀπὸ τὸ σπῆτί του ἀκόμη, ἔχων ἕνα ὁδηγὸν (βιβλίον) τοῦ ἁγίου Ὄρους ἢ χάρτην τινά, μὲ τὰ ὁποῖα δὲν θὰ δυσκολευθῇ νὰ τὸ καταρτίσῃ. Ἐὰν δὲν ἔχῃ ἀπὸ αὐτά, δύναται καὶ ἐκεῖ ἐπιτοπίως νὰ τὸ καταρτίσῃ, ἐρωτῶν ἕνα οἱονδήποτε μοναχὸν, ὅστις θὰ τὸν ὁδηγήσῃ ἀσφαλῶς, ἀγοράζων ἐν ἀνάγκῃ ἀπὸ τὸ μόνον βιβλιοπωλεῖον τῶν Καρυῶν τοῦ πατρὸς Κοσμᾶ ἕνα ὁδηγὸν καὶ οὕτως ἀρχίζει τὴν περιοδείαν του, ἔχων πάντοτε ὑπεράνω αὐτοῦ ὡς φύλακα καὶ σκέπην τὴν Κτητόρισσαν τοῦ ἱεροῦ τούτου τόπου, τὴν Παναγίαν μητέρα τοῦ Κυρίου μας.

Ὁ κάθε προσκυνητὴς δύναται νὰ κάμῃ ἴδιον πρόγραμμα ἐπισκέψεων, ἐγὼ ὅμως θὰ ἐκθέσω μὲ ὀλίγας γραμμὰς τί εἶδα καὶ τί συνήντησα σύμφωνα μὲ τὸ ἰδικόν μου πρόγραμμα.

Ὡς συνοδόν μου εἶχον τὸν ἐν ἀποστρατείᾳ ἀξιωματικὸν τῆς χωροφυλακῆς κ. Νικ. Γκουντόπουλον προσφέροντα ἀτελῶς τὰς ὑπηρεσίας του εἰς τὴν «Ἁγιορειτικὴν Βιβλιοθήκην».

Ἀναχωρήσαντες ἐκ Βόλου τὴν Παρασκευὴν 9ην Αὐγούστου ἀτμοπλοϊκῶς, ἐξήλθομεν εἰς Δάφνην τὴν πρωΐαν τῆς Κυριακῆς 11 Αὐγούστου (29 Ἰουλίου) (*) καθόσον τὸ ἀτμόπλοιον παραμένει εἰς Θεσσαλονίκην ὁλόκληρον τὴν ἡμέραν καὶ ἀναχωρεῖ τὴν 6ην ἑσπερινὴν διὰ Δάφνην.

Μὴ ἔχοντες περιττὰ πράγματα ἀνεχωρήσαμεν πεζῇ διὰ Καρυάς, ὅπου ἐνηργήσαμεν ὅλην τὴν διαδικασίαν διὰ τὴν παραλαβὴν τοῦ μεγάλου διαμονητηρίου. Μὴ δυνηθέντες νὰ παραλάβωμεν πρὸ μεσημβρίας τὰ διαμονητήρια, μετέβημεν τὴν

(*) Ἐπειδὴ εἰς τὸ ἅγιον Ὄρος ἐπικρατεῖ τὸ παλαιὸν ἡμερολόγιον, ἀπὸ σήμερον θὰ θέτωμεν διπλῆν ἡμερομηνίαν νέου καὶ παλαιοῦ ἡμερολογίου.

Σταγόνα μοι, κατανύξεως ὄμβρισον Δέσποινα, ἐξεκίρουσαν ἅπαντα, τὸν τῆς καρδίας μου καύσωνα, καὶ τῆς ἀθυμίας μου, τὰς θαλερὰς ἐπικλήσεις ἀναστέλλουσαν.

Ρομφαίᾳ με, ἡδονῆς πληγωθέντα καὶ κείμενον, τραυματίαν Ἄχραντε μὴ ὑπερίδῃς ἀλλ' ἴασαι, λόγχῃ καὶ τῷ αἵματι, τοῦ σταυρωθέντος Υἱοῦ σου καὶ Θεοῦ ἡμῶν.

Πλουτήσασα, δεσποτείαν ἁπάσης τῆς κτίσεως, δεινῶς με πτωχεύσαντα, χάριτος θείας ἀξίωσον, ὅπως μεγαλύνω σε, ὡς ἀγαθήν μου προστάτιν Παναμώμητε.

Τοῦ ἁγίου ὁ αὐτὸς

Μιμούμενος, τὸν ταθέντα ἐν ξύλῳ θελήματι, ὑψώθης τεινόμενος καὶ ὠμοτάτως ξεόμενος, καὶ ἀποδυόμενος, τοὺς δερματίνους χιτῶνας τῆς νεκρώσεως.

Οἱ πόνοι σου, τῆς σαρκὸς καὶ δεινῶν ἡ ἐπίτασις, τὴν ἄπονον λῆξίν σοι, μάρτυς σαφῶς προεξένησαν· ἧς νῦν ἐμφορούμενος, ἅπαντα πόνον κουφίζεις τῶν ψυχῶν ἡμῶν.

Ἰσαγγέλῳ γεγονότι τῶν ἄθλων λαμπρότητι, χειρὸς δὲ Ἀγγέλου σοι, πέμπει τροφὴν τὴν οὐράνιον, ἄρτος ἡ ζωὴ ἡμῶν, ἐνδυναμοῦσάν σε μάρτυς πανοσίδιμε.

Θεοτοκίον

Παρθένον σε, μετὰ τόκον ἀμίαντον ἄφθορον, Θεὸς συνετήρησεν, ὁ εὐδοκήσας ἐν μήτρᾳ σου, ὅλον με τὸν ἄνθρωπον, ἀναλαβέσθαι δι' ἄκραν ἀγαθότητα.

Δεύτερος. Εἰσακήκοα Κύριε

Νοερῶς εἰκονίζω σε, ὅλος τετρωμένος τῷ θείῳ πόθῳ σου, μὴ παρίδῃς με Ἀρτέμιε, ἀλλὰ ἴασαί μου τὰ συντρίμματα

Λόγος ὅλως οὐ δύναται, ἐξειπεῖν τρισμάκαρ τὰς ἀριστείας σου ὑπερβαίνει γὰρ θαλάσσιον, τὰ λαμπρά σου ψάμμον ἀγωνίσματα.

Οὐχ εἱρκτῇ οὐδὲ μάστιγες, οὐ πλακὸς βαρύτης ἀλλ' οὐδὲ θάνατος, τῆς ἀγάπης ἠδυνήθησαν, ἐκχωρῆσαι μάρτυς τοῦ Δεσπότου σε.

Θεοτοκίον

Ἣ Θεὸν σωματώσασα, τῶν σωματικῶν παθῶν με ἀπάλλαξον, ἱκεσίαις σοῦ θεράποντος, Ἀρτεμίου Κόρη πρὸς σὲ ἄφθορε.

Καταβασία. Τὴν ἀνεξιχνίαστον.

Ὠδὴ ε'. Ὁ εἱρμὸς

»Μεσίτης Θεοῦ, καὶ ἀνθρώπων γέ»γονας Χριστὲ ὁ Θεός, διὰ σοῦ »γὰρ Δέσποτα, τὴν πρὸς τὸν ἀρχίφω»τον Πατέρα σου, ἐκ νυκτὸς ἀγνωσίας, »προσαγωγὴν ἐσχήκαμεν. δὶς

Ὁδὸν τῆς ζωῆς, ἡ τεκοῦσα ἄχραντε ἐδήγησον, ὁδὸν εὐθεῖάν με, τὴν εἰς ἀνοδίας τε καὶ βάραθρα, χαλεπῶν συμπτωμάτων, ἀλόγως κρημνιζόμενον.

Ξενώσας φρενί, ἐμαυτὸν ἀγνώμονι Παρθένε Θεοῦ, ἀσώτως ἐβίωσα, χώραν εἰς μακρὰν παθῶν πλανώμενος, ἀλλ' ἐπίστρεψον σῶσον, ταῖς σαῖς με παρακλήσεσι.

Ναμάτων τῶν σῶν, ζωηρρήτων πότισον τὸν δοῦλόν σου, φλογμῷ συγκαιόμενον, τῶν ἁμαρτιῶν καὶ φλογιζόμενον, προσβολαῖς τῶν δαιμόνων, Παρθενομῆτορ ἄχραντε.

Τοῦ ἁγίου ὁ αὐτὸς

Λαμπὰς φωταυγής, καθωράθης Πνεύματος Ἀρτέμιε, πιστοὺς καταυγάζουσα, καὶ τῆς πονηρίας ἀπελαύνουσα, τὰ ζοφώδη καὶ σκότους, πεπληρωμένα πνεύματα.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ὁ πέτρᾳ ζωῆς, τῆς ψυχῆς τὰ βήματα πηξάμενος, ταῖς πέτραις σφιγγόμενος, καὶ τοῖς ἀλγεινοῖς περικυκλούμενος, ἀληθὴς ἀθλοφόρος, ἀκλόνητος διέμεινας.

Ὑπάρχων σεπταῖς, ὡπλισμένος Πνεύματος δυνάμεσι, τριβόλων ὀξύτητος, μάρτυς ἀθλοφόρε κατεφρόνησας, ἐν αὐτοῖς συμπατήσας, τὰ κέντρα τοῦ ἀλάστορος.

Θεοτοκίον

Σταυρὸν καὶ ταφήν, ὁ ἐκ σοῦ θελήματι τεχθεὶς δι' ἡμᾶς, ὑπομείνας Δέσποινα, μάρτυρα στερρότατον Ἀρτέμιον, τὸν αὐτοῦ παθημάτων, ὡς κραταιὸς εἰργάσατο.

Δεύτερος. Ἵνα τί με ἀπώσω

Ἰσχυρῶς ἀντετάξω, Ἰουλιανοῦ τοῖς ποικίλοις τεχνάσμασιν, ἀρωγὸν ἐν ἄθλοις, ἐπιγόμενος μάρτυς τὸν Κύριον, οὗ τὸ θεῖον πάθος, οἰκείοις μέλεσι δοξάσας, θαυμαστῶς ἐδοξάσθης Ἀρτέμιε.

Ἀποστόλων τὰ σκήνη, εἰς τὴν Βασιλίδα κομίζων τῶν πόλεων, ἔνθεν ἐκομίσω, μέγα κλέος Ἀρτέμιε μέγιστε, τὴν τοῦ παραβάτου, ἀποστασίαν διελέγξας, καὶ ἀθλήσας ψυχῆς ἀνδρειότητι.

Ἰατρὸς νοσημάτων, καὶ ἐντεροκήλης ἀκέστωρ ταχύτατος, πέλων ἀθλοφόρε, τῇ συνήθει σου χρώμενος χάριτι, ἐκ τῆς πανωδύνου, ταύτης ὀδύνης λύτρωσαί με, τὴν κατ' ἄμφω ὑγείαν βραβεύων μοι.

Θεοτοκίον

Τὴν ἁγίαν Παρθένον, τὴν θεοχαρίτωτον καὶ Παναμώμητον, ὁ στερρὸς πολίτης, εἰς βοήθειαν ἐπικαλούμενος, τῶν βασάνων ὄγκον, καὶ τῶν δεινῶν τὴν τρικυμίαν, ἀκλονήτου διῆλθε φρονήματι.

Καταβασία. Ἐξέστη τὰ σύμπαντα.

Ὠδὴ σ'. Ὁ εἱρμὸς

»Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμε»νος, τὴν ἀνεξιχνίαστον τῆς »εὐσπλαγχνίας σου, ἐπικαλοῦμαι ἄ»βυσσον, ἐκ φθορᾶς ὁ Θεός με ἀνά»γαγε. δὶς

Μὴ μὲ δείξῃς δαιμόνων ἐπίχαρμα, ἐν τῷ κριτηρίῳ τῷ μέλλοντι Δέσποινα, ἀλλ' εὐμενῶς προσβλέψαι με, τὸν Κριτὴν καὶ Υἱόν σου δυσώπησον.

Λογισμοῖς παροργίζων σε Κύριε, καὶ ταῖς πονηραῖς καὶ ἀθέσμοις μου πράξεσιν, εἰς ἵλασμὸν προσάγωσοι, τὴν Μητέρα σου οἰκτειρον σῶσόν με.

Κατακρίσεως ῥῦσαί με Δέσποινα, τὸν αὐτοκατάκριτον ὄντα τοῖς πταίσμασιν, ὡς τὸν Κριτὴν κυήσασα, καὶ Θεὸν τῶν ἁπάντων Πανύμνητε.

Τοῦ ἁγίου, ὁ αὐτὸς

Ἱερεῖον καὶ θῦμα ὁλόκληρον, μάρτυς προσενήνοχας σαὐτὸν Ἀρτέμιε, τῷ ἑκουσίαν σταύρωσιν, εἰς ἡμῶν δεξαμένῳ ἀνάκλησιν.

Ἀνενδότοις πληγαῖς συντριβέντος σου, σώματος Ἀρτέμιε τοῦ καρτεροῦ σοφέ, τὴν ψυχικὴν εὐγένειαν, διετήρησας πίστει ἀλώβητον.

Νοσημάτων ἡμᾶς ἀπολύτρωσαι, μάρτυ, καὶ παθῶν πειρασμῶν τε καὶ θλίψεων, τοὺς ἐπὶ σοὶ προστρέχοντας, μιμητὰ τοῦ Σωτῆρος Ἀρτέμιε.

Θεοτοκίον

Χειμαζόμενον σάλῳ τῶν θλίψεων, καὶ κλυδωνιζόμενον ἐπαναστάσεσι, τρικυμιῶν διάσωσον, Θεοτόκε Παρθένε τοὺς δούλους σου.

Δεύτερος Ἵλάσθητί μοι Σωτὴρ

Ἠγώνισαι καρτερῶς, μεγαλομάρτυς Ἀρτέμιε, καὶ τὴν Ἰουλιανοῦ, ἀσέβειαν ἴσχυνας διὸ τεθαυμάστωσαι, θαύμασι ποικίλοις, βοηθῶν τοῖς προσκαλοῦσί σε.

Ῥήμάτων σου τῶν σοφῶν, μὴ ἐνεγκὼν τὴν εὐθύτητα, ὁ παραβάτης στερρέ, βρασάνων σφοδρότητι, δαπανᾷ τὰς σάρκας σου, ἀλλὰ πάντα φέρεις, ὥσπερ ἄσαρκος Ἀρτέμιε.

Ξενώσας πάσης φθαρτῆς, σαὐτὸν ἀξίας Ἀρτέμιε, ξένων καμάτων ὁδόν, νομίμως πεπόρευσαι καὶ νῦν πᾶσαν ἔννοιαν, εὐπρεπῶς ξενίζεις, τῶν θαυμάτων σου ταῖς χάρισι.

Θεοτοκίον

Ἀκτίσι φωτουργικαῖς, τοῦ προελθόντος ἐκ μήτρας σου, Ἀρτέμιος ὁ κλεινός, μυστικῶς πτερούμενος, ὑπὲρ φύσιν ἤθλησεν, ἀνυμνῶν Παρθένε, σὲ τὴν σκέπην τῶν ψυχῶν ἡμῶν.

Καταβασία. Τὴν θείαν ταύτην.

Κοντάκιον

Ἦχος πλ. δ'. Τῇ ὑπερμάχῳ

Ὡς ἀριστέα τοῦ Σωτῆρος πολυθαύμαστον, καὶ παρεχέα ἰαμάτων πλουσιόδωρον, ἀνυμνοῦμέν σε προφρόνως μεγαλομάρτυς· ἀλλ' ὡς πέλων ἰατὴρ τῆς κήλης ἄριστος, ἀσινῆ με ἐκ τῆς βλάβης ταύτης φύλαττε, ἵνα κράζω σοι, χαίροις μάρτυς Ἀρτέμιε.

Ἕτερον. Ἦχος β'. Τοὺς ἀσφαλεῖς

Τὸν εὐσεβῆ καὶ στεφηφόρον μάρτυρα, τὸν κατ' ἐχθρῶν νίκης ἀράμενον τρόπαια, συνελθόντες ἐπαξίως νῦν, ἐν ὑμνῳδίαις εὐφημήσωμεν, Ἀρτέμιον τὸν μέγιστον ἐν μάρτυσι, θαυμάτων τε δοτῆρα πλουσιώτατον, πρεσβεύει γὰρ Κυρίῳ ὑπὲρ πάντων ἡμῶν.

Ὁ Οἶκος

Τίς τοὺς ἀγῶνας ἐξαρκέσει ἐξειπεῖν ἀθλοφόρε; ἢ τοὺς πόνους τοὺς σούς, οὓς περ ἀνδρείως ὑπέμεινας διὰ τῆς πίστεως τοῦ Κυρίου, καὶ τῆς χάριτος ἧς περ κατηξιώθης; οὐκ ἐξαρκεῖ διηγήσασθαι στόμα ἀνθρώπινον. Σοφίαν γὰρ ἐνδεδυμένος καὶ ἀνδρείαν, τὸν πλοῦτον ἐμίσησας καὶ τὴν ἀξίαν τὴν πρόσκαιρον, στρατιώτης φανεὶς γνησιώτατος. Καὶ νῦν πρεσβεύεις Κυρίῳ ὑπὲρ πάντων ἡμῶν.

Συναξάριον

Τῇ κ'. τοῦ αὐτοῦ μηνὸς, μνήμη τοῦ ἁγίου ἐνδόξου μεγαλομάρτυρος Ἀρτεμίου τοῦ θαυματουργοῦ.

Στίχοι

Ὁ πάντα λαμπρὸς Ἀρτέμιος ἐν βίῳ.
Τμηθεὶς ἀπῆλθεν εἰς ὑπέρτατον κλέος.
Εἰκάδι Ἀρτέμιος πυκινόφρων αὐχένα τμήθη.

(καὶ τὰ λοιπὰ τοῦ Συναξαριστοῦ)

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ'. Ὁ εἱρμὸς

»Ἀντίθεον πρόσταγμα παρανομοῦν»τος, τυράννου μετάρσιον, τὸ »φλόγα ἀνερρίπισε· Χριστὸς δὲ ἐφη»πλωσε θεοσεβέσι παισί, δρόσον τὴν »τοῦ Πνεύματος, ὁ ὢν εὐλογημένος »καὶ ὑπερένδοξος. δὶς

Ἰσχύς μου καὶ ὕμνησις καὶ σωτηρία, βεβαία ἀντίληψις, καὶ τεῖχος ἀπροσμάχητον· ὑπάρχουσα Δέσποινα τοὺς πολεμοῦντάς με, δαίμονας πολέμησον, ἀεὶ ἐπιζητοῦντας τοῦ θανατῶσαί με.

Θεὸν σωματώσασα παρθενικῶν σου, αἱμάτων ἐθέωσας, Παρθένε τὸ ἀνθρώπινον· διό με τοῖς πάθεσι καταῤῥυπούμενον, καὶ καταφθειρόμενον, ἐχθροῦ ταῖς μεθοδίαις ῥῦσαι πρεσβείαις σου.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ἡ κάμινος γέννησιν προδιετύπου, τὴν σὴν Παναμώμητε, τοὺς Παῖδας γὰρ οὐκ ἔφλεξε, ὡς οὐδὲ τὴν μήτραν σου τὸ πῦρ τὸ ἄστεκτον· ὅθεν ἱκετεύω σε, πυρὸς τοῦ αἰωνίου ῥῦσαι τὸν δοῦλόν σου.

Τοῦ ἁγίου, ὁ αὐτὸς

Ἀήττητον φρόνημα ἀρραγεστάτην, ψυχῆς καρτερότητα, Ἀρτέμιε κτησάμενος, ἐχθρῶν πανουργεύματα μάρτυς κατήργησας, μέλπων ἐμμελέστατα· ὃ ὢν εὐλογημένος καὶ ὑπερένδοξος.

Ῥοαῖς τῶν αἱμάτων σου τὴν ἐπηρμένην, βασάνων κατέσβεσας, πυρὰν θεομακάριστε· καὶ δρόσῳ τοῦ Πνεύματος περιχεόμενος, χαίρων ἀνεκραύγαζες· ὃ ὢν εὐλογημένος καὶ ὑπερένδοξος.

Ἰάσεων χάριτας ἀναπηγάζων, παθῶν ὑπεκκαύματα, σβεννύεις θείᾳ χάριτι· διώκεις δὲ πνεύματα ἐπιστασίαις σου, ἔνδοξε Ἀρτέμιε· διὸ μεγαλοφώνως σὲ μακαρίζομεν.

Θεοτοκίον

Νεκροῖς τὸν πηγάσαντα ἀθανασίαν, Παρθένε πανάμωμε, θεοπρεπῶς ἐκύησας· αὐτὸν οὖν ἱκέτευε τοῦ θανατῶσαι ἡμῶν, πάθη τὰ τοῦ σώματος Ἁγνή, καὶ αἰωνίου καταξιῶσαι ζωῆς.

Δεύτερος. Θεοῦ συγκατάβασιν

Διόλου ταῖς νεύσεσι, ταῖς πρὸς τὸ θεῖον καλλωπιζόμενος, τοῖς τριβόλοις τὸν νῶτον, καὶ τοῖς ὄγκινοις πλευρὰς καὶ βλέφαρα, καὶ πᾶν τὸ σῶμα ἀδίκως στρεβλούμενος, ἐνεκαρτέρεις στερρῶς, μεγαλομάρτυς Χριστοῦ.

Τῇ πέτρᾳ τῆς πίστεως, ἐρηρεισμένος θεομακάριστε, καθυπέστης γενναίως, πετρῶν μεγίστων βιαίαν πίεσιν, καὶ τοὺς ἐχθροὺς καταπλήξας ἐκραύγαζες. Εὐλογητὸς ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Ἀπάσης τῆς ἔνδοθεν, διαμορφώσεως ἐκχυθείσης σου, τῆς ψυχῆς σου ὁ τόνος, οὐ διεχύθη ἀλλ' ἀκμαιότατος, σαφῶς ὡρᾶτο δυνάμει τῆς πίστεως, καὶ ἐξενεύρου ἐχθρῶν πᾶσαν ἰσχὺν ἀθλητά.

Θεοτοκίον

Ὑπάρχουσα Δέσποινα, καθαρωτέρα πάσης τῆς κτίσεως, ὑπεδέξω τὸν Λόγον, ἐκ σοῦ ἀῤῥήτως ἀποτικτόμενον, ὃν ὁ γενναῖος ποθήσας Ἀρτέμιος, τῇ τῶν βασάνων πυρᾷ ἐνεκαρτέρησε.

Καταβασία. Οὐκ ἐλάτρευσαν.

Ὠδὴ η'. Ὁ εἱρμὸς

»Κάμινός ποτε πυρὸς ἐν Βαβυλῶνι, τὰς ἐνεργείας διεμέριζε, τῷ »θείῳ προστάγματι, τοὺς Χαλδαίους «καταφλέγουσα, τοὺς δὲ πιστοὺς δρο»σίζουσα ψάλλοντας. Εὐλογεῖτε πάν»τα τὰ ἔργα Κυρίου τὸν Κύριον. δὶς

Ζήλου τὰ καλὰ κακῶν μακρυνομένη, δι' ἐμμελείας θείων πράξεων, ψυχή μου πρεσβεύουσαν, ὑπὲρ σοῦ τὴν θεομήτορα, καὶ πάντων ἀκαταίσχυντον, ἔχουσα προστασίαν, ὡς συμπαθῆ καὶ φιλάγαθον.

Ἔλυσας δεσμοῦ τῆς πάλαι καταδίκης θεοκυήτορ τὸ ἀνθρώπινον· ὅθεν ἱκετεύω σε, διαλῦσαι πάντα σύνδεσμον κακίας τῆς καρδίας μου, ἄχραντε συνδεσμοῦσα, θείᾳ στοργῇ με τοῦ Κτίσαντος.

Δόξης τοῦ Πατρὸς ἀπαύγασμα τεκοῦσα, τὴν ἀδοξίᾳ σκυθρωπάζουσαν, πταισμάτων καρδίαν μου, Θεοτόκε καταῤῥύπωσον, καὶ δόξης με ἀνάδειξον, μέτοχον ἀϊδίου, ὅπως ἐν πίστει δοξάζω σε.

Τοῦ ἁγίου, ὁ αὐτὸς

Μάστιξι σροδραῖς Ἀρτέμιε τὸ σῶμα, ἐκδαπανώμενος ὑπήνεγκας, ἐναποσκοπούμενος τὴν ἀντίδοσιν τὴν μέλλουσαν, ἣν νέμει σοι κραυγάζοντι, ἔνδοξε ὁ Δεσπότης· πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Αἵμασι τοῖς σοῖς ἡ γῆ καθηγιάσθη, καὶ ἰατρεῖον ἀναδέδεικται, σῶμα τὸ πολύαθλον, πᾶσαν νόσον πᾶσαν κάκωσιν, πᾶσαν δαιμόνων πάντοτε, βλάβην ἀποδιῶκον, ἐκ τῶν πιστῶς προσφευγόντων σοι.

Κόσμος ἀθλητῶν ἐδείχθης τὰ ἐν κόσμῳ, εὐσεβοφρόνως ἀπωσάμενος, καὶ τὰ ὑπερκόσμια, βραχυτάτῳ ἐξωνούμενος, τιμίῳ σου Ἀρτέμιε, αἵματι ἀνακράζων· πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Ἄκλυστος λιμὴν χειμαζομένοις ὥρθης, καὶ θαλαττεύουσιν ἑκάστοτε, κινδύνοις καὶ θλίψεσι, καὶ παθήμασιν Ἀρτέμιε· ἐν ᾧ διασωζόμενοι, χάριτι μελῳδοῦμεν· πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Θεοτοκίον

Ῥεύσαντας ἡμᾶς πικρᾷ τοῦ ξύλου βρώσει, καὶ συμπεσόντας ὀλισθήμασι, Πάναγνε ἀνέπλασας, Πλαστουργὸν ἀποκυήσασα, καὶ Λόγον ἐνυπόστατον, ἄχραντε ὃν ὑμνοῦμεν, πάντα τὰ ἔργα ὡς Κύριον.

Δεύτερος. Ἑπταπλασίως κάμινον

Ὁ θαυμαστὸς ἐν μάρτυσιν, ἀριστεύσας λαμπρότατα, ὁ τοῦ παραβάτου καθελὼν τὴν ἔπαρσιν, λιμὴν ὁ σωτήριος, τοῖς ἐν πελάγει οὖσι δεινοῖς, ὁ περιφανής, καὶ εὐκλεὴς στρατιώτης, Χριστοῦ τοῦ Βασιλέως, τῶν θαυμάτων ἡ βρύσις, ὑμνείσθω χαρμοσύνως Ἀρτέμιος ὁ μέγας.

Ὁλολαμπὴς ὡς ἥλιος, τῷ φαιδρῷ στερεώματι, τῷ τῆς Ἐκκλησίας ἐμφανῶς ἀνέτειλας, ἀκτῖσι τῶν ἄθλων σου, φωταγωγῶν τὰ πέρατα, καὶ μαρμαρυγαῖς, τῶν ὑπερλάμπρων θαυμάτων, παθῶν διώκων σκότος, καὶ δαιμόνων τὴν νύκτα, Ἀρτέμιε σκεδάζων καὶ τοὺς πιστοὺς φαιδρύνων.

Ὠμοῖς βουνεύροις ἔνδοξε, καὶ τριβόλοις τὸ σῶμά σου, πληγωθὲν τὸν ὄφιν εἰς τέλος ἐπλήγωσε, σοί δε προεξένησε τρυφὴν τὴν ἀδιάῤῥευστον, ἔνθα στεφηφόρος, σὺν Ἀγγέλοις χορεύων, ὑμνεῖς παναρμονίως, Πατέρα Λόγον Πνεῦμα, τὴν μίαν θεαρχίαν εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον

Νέον ὡς βρέφος τέτοκας, τὸν Πατρὶ καὶ τῷ Πνεύματι, ἄχραντε Παρθένε συμφυῶς νοούμενον, Χριστὸν τὸν Θεὸν ἡμῶν, ὃν ὁ κλεινὸς Ἀρτέμιος, καθομολογήσας, ἐναθλεῖ τούτου χάριν, μεθ' οὗ σε Παναγία, μακαρίζουσι πίστει, λαοὶ φυλαὶ καὶ γλῶσσαι εἰς πάντας τοὺς αἰῶνας.

Καταβασία Παῖδας εὐαγεῖς.

Ὠδὴ θ'. Ὁ εἱρμὸς

»Ἀνάρχου Γεννήτορος, Υἱὸς Θεὸς »καὶ Κύριος, σαρκωθεὶς ἐκ Παρ»θένου, ἡμῖν ἐπέφανε, τὰ ἐσκοτισμένα φωτίσαι, συναγαγεῖν τὰ ἐσκορπισμένα· »διὸ τὴν πανύμνητον, Θεοτόκον μεγα»λύνομεν. δὶς

Γευσάμενος βρώσεως, μὴ προσηκούσης θάνατον, ὁ Ἀδὰμ ἐκ τοῦ ξύλου πικρῶς ἐτρύγησε, ξύλῳ δὲ παγεὶς ὁ Υἱός σου, τὸν γλυκασμὸν τῆς ἀθανασίας, ἐπήγασεν ἄχραντε· διὰ τοῦτό σε γεραίρομεν.

Βασίλισσα πέφυκας, τὸν Βασιλέα Κύριον, ὑπὲρ λόγον τεκοῦσα τὸν διαλύσαντα, ᾅδου τὰ βασίλεια Κόρη,

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ὂν ἐκτενῶς δυσώπει τῆς ἄνω, βασιλείας ἅπαντας, ἀξιῶσαι τοὺς τιμῶντάς σε.

Ἀγάθυνον Δέσποινα, τὴν ταπεινὴν καρδίαν μου, ἡδονῶν κακωθεῖσαν ταῖς ἐπικλήσεσιν, ὡς τὸν ἀγαθὸν τετοκυῖα, καὶ ἀγαθὴ ὑπάρχουσα ὅλη, καὶ πρὸς μετανοίας με, ἀγαθὰς πύλας εἰσάγαγε.

Τοῦ ἁγίου, ὁ αὐτὸς

Ἰδεῖν ἐφιέμενος, τὰ κάλλη τὰ οὐράνια, τὰ φαινόμενα κόσμου κάλλη παρέδραμες, καὶ καλοποιΐᾳ τῶν ἄθλων, ὡραϊσθεὶς Ἀρτέμιε μάρτυς, καλῶν τὸ ἀκρότατον, εὐφραινόμενος κατείληφας.

Ὡς ὄρθρος ὡς ἥλιος, ἡ μνήμη σου φωτίζουσα, τῶν πιστῶν τὰς καρδίας μάκαρ ἀνέτειλε· σὺ γὰρ καὶ φωτὸς καὶ ἡμέρας, φωτοειδὴς ὤφθης κληρονόμος, σκεδάζων Ἀρτέμιε, τὴν ὀμίχλην τῶν ψυχῶν ἡμῶν.

Σκιρτήσωμεν σήμερον, πνευματικῶς χορεύοντες, Ἀρτεμίου τῇ μνήμῃ τοῦ θείου μάρτυρος· ψάλλωμεν Θεῷ ἐν αἰνέσει, τῷ θαυμαστῷ ὄντι ἐν ἁγίοις, καὶ καθαγιάζοντι, τοὺς ἐν πίστει τοῦτον σέβοντας.

Ἧκέ σου βρύουσα, ἀπαύστως τὰ ἰάματα, τοὺς πιστοὺς προσκαλεῖται πόθῳ ἀρύσασθαι, εἰς σωματικὴν εὐρωστίαν, εἰς ψυχικὴν ὄντως σωτηρίαν, παμμάκαρ Ἀρτέμιε, πρεσβευτὰ τῶν εὐφημούντων σε.

Θεοτοκίον

Φωτί με καταύγασον, τοῦ σοῦ προσώπου Κύριε, ῥαθυμίας τῷ σκότει συγκαλυπτόμενον, ἔχων δυσωποῦσάν σε Λόγε, τὴν ἀληθῆ ἀγνήν σου Μητέρα, Ἀγγέλων λαμπρότητας, καὶ τὸν ἔνδοξον Ἀρτέμιον.

Δεύτερος. Ἑξέστη ἐπὶ τούτῳ

Ἠγώνισαι Ἀρτέμιε εὐκλεῶς, καὶ συντρίψας τὸν δόλιον δράκοντα, τὴν κεφαλήν, ἔκλινας τῷ ξίφει περιχαρῶς, καὶ νικητὴς περίδοξος, προπομπαῖς ἁγίαις ἀγγελικαῖς, ἀνέδραμες θεόφρον, πρὸς δόξαν τοῦ Κυρίου, κατατρυφῶν τῶν ὑπὲρ ἔννοιαν.

Εἰσήκουσεν ἐξ ὕψους τῶν σὼν εὐχῶν, ὁ δοξάσας σε μάρτυς Ἀρτέμιε· τὸ γὰρ σεπτόν, σῶμά σου ἰάσεων ποταμόν, τῇ Ἐκκλησίᾳ δείκνυσι, πάθη θεραπεῦον ὀδυνηρά, καὶ ῥῶσιν καὶ ὑγείαν, βραβεῦον ἀενάως, τοῖς προσιοῦσι τῇ πρεσβείᾳ σου.

Νοσούντων καὶ πασχόντων θεραπευτήν, εὖ εἰδώς σε παμμάκαρ Ἀρτέμιε, ὑπὸ τὴν σήν, σκέπην καταφεύγω ὁ ταπεινός, σὺ οὖν με ἀπολύτρωσαι, νόσου τῆς προσούσης μοι χαλεπῶς, παθῶν τῇ ἐπιδόσει, καὶ ῥῦσαι τὴν ψυχήν μου, τῆς τυραννίδος τοῦ ἀλάστορος.

Θεοτοκίον

Φυλάξας σε Παρθένον ὁ ἐκ τῶν σῶν, ἀνατείλας λαγόνων ἀνέσπερος, ὡς ἀληθῶς, Ἥλιος Παρθένε τὸν ἀθλητήν, Ἀρτέμιον ἐλάμπρυνε, διηγωνισμένον καρτερικῶς, μεθ' οὗ αὐτὸν δυσώπει, ἡμᾶς κατοικεισῆσαι, τοὺς εὐσεβῶς σε μακαρίζοντας.

Κατα βασία. Ἅπας γγενής.

Ἐξαποστειλάριον

Τοῖς μαθηταῖς συνέλθωμεν

Παρεστηκὼς Ἀρτέμιε, τῇ Ἁγίᾳ Τριάδι, καὶ ἀστραπαῖς λαμπόμενος, ταῖς ἐκεῖθεν πλουσίως, ἐξ οὐρανοῦ ἐποπτεύεις, τοὺς τιμῶντάς σε πόθῳ, μεγαλομάρτυς ἔνδοξε, συμμαχῶν θείοις ὅπλοις, ὡς τοῦ Χριστοῦ, στρατιώτης ἄριστος ἀθλοφόρε, τῷ σταυροφόρῳ Ἄνακτι, κατ' ἐχθρῶν πολεμίων.

Θεοτοκίον

Εὐλογημένη πάναγνε, Θεοτόκε Παρθένε, Χριστιανῶν τὸ καύχημα,

τῶν Ἀγγέλων ἡ δόξα, καὶ ἀθλοφόρων τὸ κλέος, κράτος τεῖχος καὶ σκέπη, καὶ ὀχυρὸν προπύργιον, φύλαττε καὶ προστάτις καὶ βοηθός, ἐν κινδύνοις φάνηθι τοῖς σοῖς δούλοις· καὶ γὰρ ἐν σοὶ καυχώμεθα, προστασία τοῦ κόσμου.

ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν στίχους δ'. καὶ ψάλλομεν τὰ ἑπόμενα στιχηρὰ προσόμοια.

Ἦχος α'. Τῶν οὐρανίων Ταγμάτων

Τὸν εὐκλεῆ ἀριστέα τοῦ πάντων Ἄνακτος. Ἀρτέμιον τὸν μέγαν, εὐφημήσωμεν πάντες· ἀνδρείως γὰρ ἀθλήσας ὑπὲρ Χριστοῦ, τὸν ἐχθρὸν ἐθριάμβευσε, καὶ θαυμαστῶς ἐδοξάσθη πάσῃ τῇ γῇ, ἰαμάτων ταῖς δυνάμεσι.

Ἀκαταπλήκτῳ καρδίᾳ καὶ καρτερόφρονι, ὑπὲρ Χριστοῦ ἐδέξω, τὸ μαρτύριον μάκαρ, καὶ λόγοις τε καὶ ἔργοις ἀθλητικοῖς, ὡς ὁπλίτης περίδοξος, τῆς εὐσεβείας τὸν λόγον διατρανοῖς, ἐναντίον τοῦ διώκοντος.

Τὴν σὴν ἀνδρείαν ἐν ἄθλοις τὴν ὑπερθαύμαστον Ἀγγέλων καὶ ἀνθρώπων, ἐξεπλάγησαν τάξεις, σὺ γὰρ ὥσπερ πύργος τὰς προσβολάς, τῶν τυράννων διέλυσας. Ἀλλὰ μὴ παύσῃ πρεσβεύων ὑπὲρ ἡμῶν, τῶν πεθούντων σε Ἀρτέμιε.

Τῶν ἰαμάτων τὴν χάριν τὴν πλουσιόδωρον, οἷα πηγὴν πηγάζων, ζωοδώρητον ὄντως, λύτρωσαι ἐκ νόσων παντοδαπῶν, ψυχῆς ἅμα καὶ σώματος, μεγαλομάρτυς Ἀρτέμιε θαυμαστέ, τοὺς προστρέχοντας τῇ σκέπῃ σου.

Δόξα. Ἦχος πλ. α'.

Σαλπίσωμεν ἐν σάλπιγγι ἁσμάτων, χορεύσωμεν ἑόρτια, καὶ κροτήσωμεν χεῖρας σήμερον, ἐν τῇ ἐνδόξῳ πανηγύρει, τοῦ ἀθλοφόρου Χριστοῦ. Βασιλεῖς καὶ ἄρχοντες συντρεχέτωσαν, καὶ τὸν στρατιώτην τοῦ μόνου Βασιλέως, βασιλέα ἔχθιστον, τὸν δι' ἔργων καὶ λόγων στερρῶν, καταισχύναντα εἰς τέλος, εὐφημείτωσαν. Φιλάθλων τὰ συστήματα, τὸν ἐν ἀθληταῖς ὑπέρλαμπρον φωστῆρα, συνελθόντες ἀνυμνήσωμεν. Οἱ νοσοῦντες τὸν ἰατρόν, οἱ ἀποροῦντες τὸν ῥύστην, οἱ τεθλιμμένοι τὴν θυμηδίαν, οἱ πάσχοντες τὸν βοηθόν, οἱ ὑγιαίνοντες τὴν προστασίαν, τὸν ἀντιλήπτορα οἱ ἐν κινδύνοις, οἱ εὐδρομοῦντες τὸν παραστάτην, οἱ πάντες οἱ ἐν οἰδήμασι τῆς κήλης τρυχόμενοι, μέγιστον ἰατῆρα, ἐγκωμιάζοντες οὕτως εἴπωμεν. Πανένδοξε Ἀρτέμιε, πρόφθασον ἐξελοῦ ἡμᾶς, ἐκ περιστάσεως πάσης, καὶ φύλαττε ἅπαντας ταῖς προστασίαις σου.

Καὶ νῦν. Θεοτοκίον

Σαλπίσωμεν ἐν σάλπιγγι ἁσμάτων προκύψασα γὰρ ἄνωθεν ἡ Παντάνασσα Μητροπάρθενος, ταῖς εὐλογίαις καταστέφει τοὺς ἀνυμνοῦντας αὐτήν. Βασιλεῖς καὶ ἄρχοντες συντρεχέτωσαν, καὶ τὴν Βασιλίδα κροτείτωσαν ἐν ὕμνοις, Βασιλέα τέξασαν, τοὺς θανάτῳ κρατουμένους πρίν, ἀπολύσαι φιλανθρώπως εὐδοκήσαντα. Ποιμένες καὶ διδάσκαλοι, τὴν τοῦ καλοῦ Ποιμένος ὑπεραγνον Μητέρα, συνελθόντες εὐφημήσωμεν. Τὴν λυχνίαν τὴν χρυσαυγῆ, τὴν φωτοφόρον νεφέλην, τὴν τῶν Χερουβεὶμ ὑπερτέραν, τὴν ἔμψυχόν τε κιβωτόν, τὸν πυρίμορφον τοῦ Δεσπότου θρόνον, τὴν μανναδόχον χρυσέαν στάμνον, τὴν ζωηφόρον τοῦ Λόγου πλάκα, ἁπάντων χριστιανῶν τὸ καταφύγιον, ἅσμασι θεηγόροις, ἐγκωμιάζοντες οὕτως εἴπωμεν. Παλάτιον τοῦ Λόγου ἀξίωσον τοὺς ταπεινοὺς ἡμᾶς τῆς οὐρανῶν Βασιλεί-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ας· οὐδὲν γὰρ ἀδύνατον τῇ μεσιτείᾳ σου.

Δοξολογία μεγάλη καὶ ἀπόλυσις.

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ τυπικά. καὶ οἱ μακαρισμοί. Ἡ γ'. καὶ ἡ ς'. ἐκ τῶν κανόνων τοῦ ἁγίου. Ἀπόστολον καὶ Εὐαγγέλιεν εἰς μεγαλομάρτυρα.

Κοινωνικὸν

Εἰς μνημόσυνον αἰώνιον...

Μεγαλυνάριον

Χαίροις ἀθλοφόρων κλέος σεπτόν, καὶ τῶν ἰαμάτων, πλουσιόδωρος χορηγός· χαίροις τῶν ἐκ κήλης, πασχόντων ὁ ἀκέστωρ, Ἀρτέμιτε τρισμάκαρ, φρούρει τοὺς δούλους σου.

ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ
ΠΡΟΣ ΤΟΝ ΜΕΓΑΝ ΑΡΤΕΜΙΟΝ

Εὐλογήσαντος τοῦ ἱερέως, ἀρχόμεθα τοῦ Κύριε εἰσάκουσον τῆς προσευχῆς μου, τὸ Θεὸς Κύριος, καὶ τὸ παρὸν τροπάριον, εἰς ἦχον δ'

Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ

Τῷ ἰατρῷ τῶν ἀλγεινῶν νῦν προσδράμωμεν, οἱ ἀσθενείαις τῆς ψυχῆς καὶ τοῦ σώματος, βεβαρημένοι κράζοντες αὐτῷ ἐκτενῶς. Ἅγιε Ἀρτέμιε, τὸν Θεὸν τῶν σῶν δούλων, τῶν ἀνεφημούντων σε, ἐκ ψυχῆς καὶ καρδίας, ὑπὲρ ἡμῶν ἱκέτευε πολλῶν, νόσων ρυσθῆναι ταῖς σαῖς παρακλήσεσιν.

Δόξα τὸ αὐτό. Καὶ νῦν Θεοτοκίον

Τῇ Θεοτόκῳ ἐκτενῶς νῦν προσδράμωμεν, ἁμαρτωλοὶ καὶ ταπεινοί, καὶ προσπέσωμεν ἐν μετανοίᾳ κράζοντες ἐκ βάθους ψυχῆς· Δέσποινα βοήθησον, ἐφ' ἡμῖν σπλαγχνισθεῖσα· σπεῦσον ἀπολλύμεθα, ὑπὸ πλήθους πταισμάτων· μὴ ἀποστρέψῃς σοὺς δούλους κενούς, σὲ γὰρ καὶ μόνην ἐλπίδα κεκτήμεθα.

Ὁ Ν'. Ψαλμὸς καὶ ὁ κανών

Ὠδὴ α'. Ἦχος πλ. δ' Ὑγρὰν διοδεύσας

Πολλοῖς συνεχόμενον πειρασμοῖς, καὶ σοὶ προσδραμόντα, ἐλευθέρωσον ἀθλητά, ἐμὲ τὸν ἱκέτην σου τῆς τούτων, ἐκδυσωπῶ τυραννίδος Ἀρτέμιε.

Παθῶν με ἐκύκλωσαν προσβολαί, Ἀρτέμιε μάρτυς, καὶ κινδύνων ἐπαγωγαί, λύτρωσαί με τούτων τάχος κράζω, ταῖς πρὸς Θεὸν εὐπροσδέκτοις δεήσεσι.

Νοσοῦντά με πάθεσι χαλεποῖς, τὸν ἄθλιον μάρτυς, τῷ φαρμάκῳ τῶν πρεσβειῶν, ἴασαι Ἀρτέμιε νοσούντων, ὁ ἰατρὸς δυσωπῶ ὁ ὀξύτατος.

Θεοτοκίον

Σωτῆρα τεκοῦσάν σε καὶ Θεόν, δυσωπῶ Παρθένε, λυτρωθῆναί με τῶν δεινῶν, σοὶ γὰρ νῦν προσφεύγων ἀνατείνω, καὶ τὴν ψυχὴν καὶ τὴν διάνοιαν.

Ὠδὴ γ'. Οὐρανίας ἀψίδος

Προστασίαις σου θείαις, τῶν ἀλγεινῶν ῥῦσαί με, τῶν ἐν παιδογόνοις μορίοις μάρτυς Ἀρτέμιε, καὶ γὰρ σὲ κέκτημαι, μετὰ Θεὸν σωτηρίαν, ὁ θερμῶς τῇ σκέπῃ σου προστρέχων πάντοτε.

Ἱκετεύω σε πόθῳ, τὴν ψυχικὴν κάκωσιν, καὶ τὰς τῆς σαρκὸς ἀσθενείας μου ἐξιάσασθαι, σὺ γὰρ ἐκήρυξας, τὸν ἀσθενείας τοῦ κόσμου, εὐσπλαγχνίᾳ ἄραντα Χριστὸν Ἀρτέμιε.

Χαλεπαῖς ἀῤῥωστίαις, καὶ λυπηροῖς πάθεσιν, ὅλον με κακῶς ἀθλοφόρε κατατρυχόμενον, ταῖς πρὸς τὸν Κύριον, σαῖς ἀκοιμήτοις πρεσβείαις, ἴασαι Ἀρτέμιε ὅπως γεραίρω σε.

Θεοτοκίον

Εὐεργέτην τεκοῦσα, τὸν τῶν καλῶν αἴτιον, τῆς εὐεργεσίας τὸν πλοῦτον πᾶσιν ἀνάβλυσον, πάντα γὰρ δύνασαι, ὡς δυνατὸν ἐν ἰσχύϊ, τὸν Χριστὸν κυήσασα μόνη πανάχραντε.

Διάσωσον, ἀπὸ κινδύνων τοὺς πίστει σοι προσιόντας, ὅτι πάντες ἱκετικῶς πρὸς σὲ καταφεύγομεν, Ἀρτέμιε ὡς πρὸς Θεὸν ἡμῶν πρέσβυν θεῖον.

Ἐπίβλεψον, ἐν εὐμενίᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Καὶ μνημονεύει ὧν βούλεται ὁ ἱερεύς· εἶτα τὸ Κοντάκιον

Ἦχος β'. Τὰ ἄνω ζητῶν

Πρεσβείαν τὴν σήν, ὡς ὅπλον ἀπροσμάχητον, πλουτοῦντες ἀεὶ οἱ πίστει σοι προσφεύγοντες, ἐκτενῶς βοῶμέν σοι, ἀθλοφόρε Ἀρτέμιε πρόφθασον, καὶ ἐκ κινδύνων λύτρωσαι ἡμᾶς, ταῖς θείαις πρὸς Κύριον πρεσβείαις σου.

Ὠδὴ δ'. Εἰσακήκοα Κύριε

Τῶν παθῶν μου τὸν βόρβορον, καὶ κηλίδας πάσας σὺ εὐωδίασον, θεραπεύσας ταῖς πρὸς Κύριον, εὐπροσδέκτοις μάρτυς ἱκεσίαις σου.

Ἀπολαύοντες πάντοτε, τῶν θαυμάτων μάρτυς τῶν τῆς εἰκόνος σου, προϊόντων τὸν χαρισμασιν, ἀθανάτοις στέψαντα δοξάζομεν.

Ἐπὶ κλίνης με κείμενον, συμφορῶν παντοίων μάκαρ ἀνάστησον, ταῖς πρὸς Κύριον πρεσβείαις σου, τεταρταῖον Λάζαρον τὸν ἐγείραντα.

Θεοτοκίον

Εὐσπλαγχνίας τὴν ἄβυσσον, ἐπικαλουμένῳ τῆς σῆς παράσχου μοι, ἡ τὸν εὔσπλαγχνον κυήσασα, καὶ σωτῆρα πάντων τῶν ὑμνούντων σε.

Ὠδὴ ε'. Φώτισον ἡμᾶς

Ἔμπλησον ἡμῶν, τὰς καρδίας θείας χάριτος, ταῖς πρὸς τὸν Κτίστην ἱκεσίαις σου, τῶν προσιόντων τῷ ναῷ σου ἀξιάγαστε.

Λύτρωσαι ἡμᾶς, ἱκεσίαις σου Ἀρτέμιε, λοιμοῦ λιμοῦ παντοίας θλίψεως, καὶ ἀῤῥωστίας ὅπως πίστει εὐφημῶμέν σε.

Ἴασαι ψυχῶν, καὶ σωμάτων πάθη πάμπολλα, ἀξιοθαύμαστε Ἀρτέμιε, τῶν προσδραμόντων τῷ ναῷ σου μετὰ πίστεως.

Θεοτοκίον

Λῦσον τὴν ἀχλύν, τῶν πταισμάτων μου Θεόνυμφε, τῷ φωτισμῷ τῆς σῆς λαμπρότητος ἡ φῶς τεκοῦσα τὸ θεῖον καὶ προαιώνιον.

Ὠδὴ στ'. Τὴν δέησιν ἐκχεῶ

Θανάτου, καὶ συμφορῶν ἀπάλλαξον, κοσμικῶς καὶ ἀλγηδόνος παντοίας, τοὺς τῷ ναῷ τῷ πανσέπτῳ σου μάκαρ, ἐν κατανύξει ψυχῆς καταφεύγοντας, καὶ πάσης νόσου χαλεπῆς, καὶ δεινῶν συνεχῶν περιστάσεων.

Ὡς ὅπλον, ἐν πειρασμοῖς ἀήττητον, τὴν πρεσβεύουσαν πλουτοῦντες τὴν θείαν, τῶν λυπηρῶν ἐκλυτρούμεθα τάχος, καὶ σὲ σωτῆρα καὶ ῥύστην Ἀρτέμιε, ἀκοίμητον μετὰ Θεόν, ἐκ ψυχῆς ὀνομάζομεν μέγιστον.

Ἐν κλίνῃ, τῶν νοσημάτων πάντοτε, κατακείμενος Ἀρτέμιε μάρτυς, ἀντιβολῶ ἀπ' ἐμοῦ τὴν σεπτήν σου, μὴ ἀντανέλῃς ἀντίληψιν ἔνδοξε, ἀλλ' οἰκτειρόν με συμπαθῶς, καὶ λοιμώδους νοσήματος λύτρωσαι.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Θεοτοκίον

Προστάτιν σε, τῆς ζωῆς ἐπίσταμαι καὶ φρουρὰν ἀσφαλεστάτην παρθένε, τῶν πειρασμῶν διαλύουσαν ὄχλον, καὶ ἐπηρείας δαιμόνων ἐλαύνουσαν, καὶ δέομαι διὰ παντός, ἐκ φθορᾶς τῶν παθῶν μου ῥυσθῆναί με.

Διάσωσον, ἀπὸ κινδύνων τοὺς πίστει σοι προσιόντας, ὅτι πάντες ἱκετικῶς πρὸς σὲ καταφεύγομεν, Ἀρτέμιε ὡς πρὸς Θεὸν ἡμῶν πρέσβυν.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

Κοντάκιον

Ἦχος β'. Προστασία τῶν χριστιανῶν

Ὡς προστάτης τῶν προσφύγων σου ἀκαταισχύντος, καὶ μεσίτης πρὸς τὸν Ποιητὴν ἀμετάθετος, μὴ παρίδῃς σῶν οἰκετῶν δεήσεων φωνάς, ἀλλὰ πρόφθασον ὡς συμπαθής, εἰς τὴν βοήθειαν ἡμῶν, τῶν πιστῶς κραυγαζόντων σοι. Τάχυνον ἀθλοφόρε, καὶ σπεῦσον εἰς ἱκεσίαν, ὁ προστατεύων τῶν ἀεί, δεομένων σου Ἀρτέμιε.

Προκείμενον

Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Στίχ. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου...

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Λουκᾶν, μαρτυρικὸν

Δόξα. Ταῖς τοῦ ἀθλοφόρου. Καὶ νῦν ταῖς τῆς Θεοτόκου.

Στίχ. Ἐλέησόν με ὁ Θεὸς καὶ τὸ παρὸν ἦχος πλ. β'.

Οὐδεὶς προστρέχων ἐπὶ σοί, κατησχυμμένος ἀπὸ σοῦ ἐκπορεύεται Ἀρτέμιε τρισμάκαρ, ἀλλ' αἰτεῖται τὴν χάριν καὶ λαμβάνει τὸ δώρημα, παρὰ Θεοῦ ταῖς ἱκεσίαις σου.

Ὠδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας

Θελητὴν τοῦ ἐλέους, ἐν σταδίῳ τυράννων ἐκήρυξας ἅγιε, Χριστὸν τὸν ζωοδότην, ᾧ πάντων ὑπερεύχου τῶν ἐν πίστει βοώντων σοι. Ἐξ ἀναγκῶν χαλεπῶν, ῥῦσαι ἡμᾶς τρισμάκαρ.

Σὺ καθάρας τὸ σῶμα, ἐμπαθείας τρισμάκαρ ἡδυπαθείας τε, ἐνήθλησας νομίμως, καὶ στέφανον τῆς νίκης ἀνεπλέξω Ἀρτέμιε, καὶ τοῖς νοσοῦσιν ἀεί, βραβεύεις τὰς ἰάσεις.

Σωμάτων ἰατῆρα, καὶ ψυχῶν πρεσβευτήν σε πάντες κεκτήμεθα, Ἀρτέμιε τρισμάκαρ· διάσωσον οὖν πάντας τοὺς Θεῷ ἀνακράζοντας· ὁ τῶν πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Θεοτοκίον

Θησαυρὸν σωτηρίας, καὶ πηγὴν ἀφθαρσίας τὴν σὲ κυήσασαν, καὶ πύργον ἀσφαλείας, καὶ θύραν μετανοίας τοῖς κραυγάζουσιν ἔδειξας, ὁ τῶν πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η'. Τὸν Βασιλέα

Τοὺς προσφοιτῶντας, ἐν τῷ πανσέπτῳ σου οἴκῳ, ἐκ παντοίων λύτρωσον κινδύνων, νόσου τε παντοίας, Ἀρτέμιε τρισμάκαρ.

Τῶν πειρασμῶν, τῶν πολυειδῶν λύτρωσαί με, σαῖς πρεσβείαις πρὸς τὸν πάντων Δεσπότην, πάντων ἀθλοφόρων, Ἀρτέμιε ἡ δόξα.

Τῶν νοσημάτων, σὺ ἰατρεία ταχεῖα, ἀνεδείχθης μάρτυς τοῖς ὑμνοῦσι, καὶ ὑπερυψοῦσι, Χριστὸν εἰς τοὺς αἰῶνας.

Θεοτοκίον

Τὰς ἀσθενείας μου, τῆς ψυχῆς; ἰατρεύεις, καὶ σαρκὸς τὰς ὀδύνας Παρθένε, ἵνα σὲ δοξάζω τὴν κεχαριτωμένην.

Ὠδὴ θ'. Κυρίως Θεοτόκον

Ῥοήν μου τῶν δακρύων, πρόσδεξαι ἐκ πόθου, ἐκπεμπομένων καὶ πάντα τὸν βόρβορον τῶν νοσημάτων μου πλῦνον μάρτυς Ἀρτέμιε.

Χαρᾶς αἰωνιζούσης, μάρτυς σὺν Ἀγγέλοις, ἐπαπολαύων νυνὶ διασκέδασον, τὴν ἀθυμίαν τῶν νόσων ἡμῶν καὶ θλίψεων.

Ὁ νεκρός σου μάρτυς, ἰατρεῖον πέλει, πνευματικὸν ἐν αὐτῷ γὰρ προσφεύγοντες, τῶν ψυχικῶν ἀλγηδόνων ἀπολυτρούμεθα.

Θεοτοκίον

Λιμὴν καὶ προστασία, τῶν σοὶ προσφευγόντων, γενοῦ Παρθένε καὶ τεῖχος ἀκράδαντον, καταφυγή τε καὶ σκέπη καὶ ἀγαλλίαμα.

Ἄξιον ἐστίν... κλπ.

Χάριν ἰαμάτων παρὰ Θεοῦ, εἰληφὼς παμμάκαρ, θεραπεύεις πάθη δεινά, διὸ τοῖς ἐν πίστει, σὲ ἐπικαλουμένοις, Ἀρτέμιε τὴν ῥῶσιν κατ' ἄμφω βράβευσον.

Φρούρησον τὴν πολιάνην σου ἀθλητά, μάρτυς τοῦ Κυρίου, τὴν τιμῶσάν σε εὐσεβῶς, καὶ ῥῦσαι κινδύνων, καὶ πάσης ἐπηρείας, Ἀρτέμιε τρισμάκαρ μαρτύρων καύχημα.

Ἀσπαζομένης τῆς ἁγίας εἰκόνος ψάλλεται τὸ παρόν.

Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου

Πάντων προστατεύεις ἀθλητά, τῶν ἀσπαζομένων ἐν πίστει εἰκόνα θείαν τὴν σήν, καὶ ἐν κατανύξει σε ἱκετευόντων ἀεί, ἀθλοφόρε Ἀρτέμιε, λιταῖς σου ταῖς θείαις, παῦσον τὸ κλυδώνιον τὸ καθ' ἡμῶν καὶ δεινῶν, ῥῦσαι καὶ πυρὸς τοὺς σοὺς δούλους, καὶ τῶν οὐρανῶν βασιλείας, ἐν μεθέξει ποίησον δεόμεθα.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Καὶ ἀπόλυσις

Ο ΒΙΟΣ ΚΑΙ ΤΑ ΘΑΥΜΑΤΑ
ΤΟΥ ΑΓΙΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΑΡΤΕΜΙΟΥ

Εὐλόγησον πάτερ

α'. «Μὴ φοβεῖσθε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι·» καὶ τὰ ἑξῆς. Ἤτοι μὴ φοβεῖσθε αὐτοὺς τοὺς ἐπιγείους βασιλεῖς καὶ τυράννους, οἵτινες δύνανται μὲν νὰ θανατώσωσι πρὸς ὥραν τὸ σῶμά σας, τὴν δὲ ψυχὴν δὲν δύνανται νὰ βλάψωσιν οὐδαμῶς· ἀλλὰ φοβεῖσθε μᾶλλον ἐκεῖνον τὸν οὐράνιον Βασιλέα, ὅστις δύναται νὰ ἀπολέσῃ τὴν ψυχὴν καὶ τὸ σῶμά σας εἰς τὴν τοῦ πυρὸς ἀτελεύτητον γέενναν. Ταῦτα εἶπεν ὁ Δεσπότης Χριστὸς πρὸς τοὺς Ἀποστόλους, διὰ νὰ εἶναι πάντοτε ἕτοιμοι αὐτοὶ καὶ οἱ τούτων διάδοχοι νὰ παραδίδωσι διὰ τὴν ἀγάπην αὐτοῦ τὴν σάρκα καὶ εἰς θάνατον· καὶ οὕτως ὑπήκουσαν οἱ ἀείμνηστοι, οὐ μόνον αὐτοί, ἀλλὰ καὶ οἱ μετέπειτα γενέστεροι, καὶ ἐθεώρουν ὡς μηδὲν βασιλέων καὶ τυράννων ὠμότητα, πῦρ, τροχούς, ξίφη, σταυρούς, καὶ ἄλλα πάνδεινα κολαστήρια, ἀλλὰ χαίροντες καὶ ἀγαλλιώμενοι διὰ τὴν ἀγάπην τοῦ Χριστοῦ, ἐδέχοντο σκληρὸν καὶ ἐπονειδιστον θάνατον, γινώσκοντες ὅτι διὰ τὴν προσωρινὴν κόλασιν ἐλάμβανον μετὰ θάνατον ἀθάνατον ζωὴν καὶ χαρὰν ἀνεκλάλητον. Ἂς αἰσχυνθῶσιν οἱ φιλόσαρκοι καὶ φιλόκοσμοι, οἵτινες λέγουσιν ἅπερ βλέπομεν, ἐν ᾧ ἐκεῖνα δὲν γινώσκομεν βέβαια. Ὢ ἀφροσύνης καὶ βλα-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

σφημίας ἀνεικάστου! Ἐὰν δὲν ἦτο ἄλλη ζωή, ἔπρεπε νὰ εἴπωμεν, ὅτι πάντες οἱ ἅγιοι ἐπλανήθησαν. Ἀπόστολοι, Προφῆται καὶ Μάρτυρες, νὰ ὑπομείνωσι τοιαῦτα δριμύτατα κολαστήρια, καὶ οἱ ἀσκηταὶ ἠπατήθησαν καὶ διῆλθον ἑκατὸν χρόνους σχεδὸν τόσην κακοπάθειαν, ἐσθίοντες χορτάρια καὶ ἀκρόδρυα. Ἀλλὰ δὲν ἔχει οὕτω. Ἐπειδὴ τὸ ἀψευδέστατον στόμα τοῦ Σωτῆρος μᾶς λέγει πολλάκις εἰς τὸ ἱερὸν Εὐαγγέλιον νὰ χαίρωμεν, ὅταν πάθωμεν διὰ τὸ ἅγιον Αὐτοῦ καὶ σεβάσμιον ὄνομα διωγμούς, κολάσεις καὶ παιδευτήρια, διότι ὁ μισθός μας θέλει εἶσθαι πολὺς καὶ ἀνείκαστος εἰς τοὺς Οὐρανοὺς αἰωνίως. Διὰ τὴν ἐλπίδα αὐτὴν τὴν βεβαίαν καὶ ἀσφαλεστάτην, ὑπέμειναν οἱ ἅγιοι μάρτυρες τοιαῦτα βασανιστήρια, καὶ οὐ μόνον εὐτελεῖς καὶ ἄσημοι ἄνθρωποι, ἀλλὰ καὶ μεγιστᾶνες καὶ ἄρχοντες, ἡγεμόνες καὶ Αὐγουστάλιοι, καταφρονοῦντες δόξαν, πλοῦτον καὶ πᾶσαν ἄλλην ἀπόλαυσιν, διὰ νὰ κληρονομήσωσι τὰ ἀεὶ διαμένοντα. Εἷς ἐξ αὐτῶν εἶναι καὶ ὁ μέγας Ἀρτέμιος, ὃν ἐτίμων πολὺ καὶ ἐσέβοντο οἱ βασιλεῖς ὡς θεοσεβῆ καὶ σοφώτατον, ὥστε τὸν ἐχειροτόνησεν ὁ μέγας Κωνσταντῖνος Δοῦκα καὶ Αὐγουστάλιον ἐν ἔτει τλ'. (330) πάσης Αἰγύπτου· ἀλλ' αὐτὸς ἀπηρνήθη πᾶσαν ἀπόλαυσιν καὶ ὑπέμεινε διὰ τὸν Χριστὸν διάφορα κολαστήρια, καὶ τώρα ἀγάλλεται μετ' αὐτοῦ αἰώνια. Ἀκούσατε λοιπὸν αὐτοῦ τὸ μαρτύριον, νὰ λάβητε μεγάλην ὠφέλειαν.

β'. Μετὰ τὴν τελευτὴν τοῦ ἁγίου Κωνσταντίνου, διεμοίρασαν τὴν βασιλείαν οἱ τρεῖς αὐτοῦ υἱοί. Ὁ Κωνσταντῖνος, ὁ πρῶτος υἱός, ἔλαβε τὰς ἄνω Γαλλίας καὶ νήσους τῆς Βρεττανίας, ἕως τοῦ ἑσπερίου Ὠκεανοῦ. Ὁ Κώνστας, δευτερότοκος υἱός, ἔλαβε τὴν Ρώμην καὶ ὅλην τὴν Ἰταλίαν· καὶ ὁ Κωνστάντιος τὴν Ἀνατολὴν ἀπὸ τοῦ Ἰλλυρικοῦ ἕως τῆς Προποντίδος, τὴν Συρίαν, τὴν Παλαιστίνην, Μεσοποταμίαν, Αἴγυπτον, καὶ τὰ νησία ὅλα. Οὗτος λοιπὸν ὁ Κωνστάντιος ἐπιστρέφων ἐκ πολέμου καὶ στρατοπεδεύσας εἰς Ἀνδριανούπολιν, ἔμαθεν ὅτι τὰ λείψανα τῶν ἁγίων Ἀποστόλων Ἀνδρέου καὶ Λουκᾶ ἦσαν τεθαμμένα, τοῦ μὲν Πρωτοκλήτου εἰς τὰς Πάτρας, τοῦ δὲ Εὐαγγελιστοῦ Λουκᾶ εἰς τὰς Θήβας τῆς Βοιωτίας, καὶ γινώσκων τὴν πολλὴν εὐλάβειαν, ἣν εἶχεν εἰς τὰ θεῖα ὁ μέγας Ἀρτέμιος, τὸν προσεκάλεσε μίαν ἡμέραν, καὶ ἀσπασάμενος αὐτόν, εἶπε· «χαίροις ἀνδρῶν ἁπάντων θεοφιλέστατε.» Ὁ δὲ Ἀρτέμιος· «χαίροις καὶ σὺ βασιλεῦ εὐσεβέστατε·» Καὶ ὁ βασιλεύς, «τὴν ὥραν ταύτην, ὦ φίλε μου ἄριστε, μοῦ ἀνήγγειλεν ὁ ἐπίσκοπος τῆς Ἀχαΐας, ὅτι εἰς τὴν Πελοπόννησον εἶναι τῶν ἁγίων Ἀποστόλων Λουκᾶ καὶ Ἀνδρέου τὰ λείψανα, καὶ παρακαλῶ σε νὰ ὑπάγῃς τάχιστα, νὰ μοῦ τὰ φέρῃς εἰς τὸ Βυζάντιον. Ταῦτα ἀκούσας ἐχάρη ὁ μέγας Ἀρτέμιος, καὶ εὐθὺς ἀπῆλθε καὶ τὰ ἐπῆρε μὲ πολλὴν τιμὴν καὶ εὐλάβειαν, καὶ φέρων αὐτὰ εἰς τὴν Κωνσταντινούπολιν, τὰ ἔβαλαν εἰς τὸν Ναόν, ὃν ἔκτισαν εἰς τὸ ὄνομά των. Τοιοῦτος λοιπὸν ἦτο καὶ πρὸ τῶν ἀγώνων τῆς μαρτυρίας ὁ θαυμαστὸς Ἀρτέμιος, εἰς ὅλους αἰδέσιμος, οὐ μόνον εἰς τὸν κοινὸν λαόν, ἀλλὰ καὶ εἰς τὸν βασιλέα αὐτόν· ἐπειδὴ ἦτο αὐθέντης καὶ Αὐγουστέλιος Ἀλεξανδρείας καὶ πάσης Αἰγύπτου, κεχειροτονημένος ἀπὸ τὸν μέγαν Κωνσταντῖνον. Ὁ δὲ βασιλεὺς Κωνστάντιος, ἀπῆλθεν εἰς τὴν Ἀντιόχειαν νὰ πολεμήσῃ κατὰ τῶν Περσῶν. Ἐκεῖ τῷ ἔφεραν γράμματα ὅτι ὁ Ἰουλιανός, τὸν ὁποῖον αὐτὸς εἶχε χειροτονήσει Καίσαρα εἰς τὴν Γαλλίαν, ἔβαλε βασιλικὸν διάδημα καὶ αὐθαιρέτως ἀνηγορεύθη τυραννικὸς βασιλεύς. Ταῦτα μαθὼν ὁ Κωνστάντιος, ἐτα-

ράχθη, φοβούμενος μήπως κατακτήσῃ καὶ τὸ Βυζάντιον, καὶ εὐθὺς ἐκίνησε νὰ ὑπάγῃ τὸ ὀργηγορώτερον. Ὅταν δὲ ἔφθασεν εἰς τὴν Κιλικίαν, ἠσθένησε, καὶ προσκαλεσάμενος Εὐζώϊον τὸν Ἀντιοχείας ἐπίσκοπον καὶ βαπτισθεὶς ὑπ' αὐτοῦ, ἐτελεύτησεν ἐτῶν τεσσαράκοντα. Ἡ δὲ στρατιὰ κατεσκεύασαν λάρνακα, καὶ ἔβαλαν εἰς ἄμαξαν καὶ μετὰ δακρύων ἀκολουθοῦντες οἱ ἄρχοντες, τὸν μετέφεραν εἰς τὸ Βυζάντιον, καὶ ἐκεῖ κατὰ τὴν αὐτὴν ὥραν εὑρέθη καὶ ὁ Ἰουλιανός, ὅστις, ὡς ἔμαθε τὸν θάνατόν του, ἔδραμε χαίρων νὰ λάβῃ τὴν ἐξουσίαν. Ἠκουλούθει λοιπὸν καὶ αὐτὸς εἰς τὸ λείψανον, ὅταν ὑπῆγαν νὰ τὸν ἐνταφιάσωσι, καὶ δὲν ἐφόρει εἰς τὴν κεφαλήν του διάδημα, μόνον ἀφοῦ τὸν ἔθαψαν, τὸ ἔβαλε, καὶ ἔγεινε βασιλεὺς ἐν ἔτει 361. Τότε ἔστειλεν εὐθὺς γράμματα πανταχοῦ, νὰ κτίζωσι ναοὺς τῶν εἰδώλων, τὰς δὲ ἐκκλησίας τῶν Χριστιανῶν ἐκ θεμελίων νὰ ἀφανίζωσι, καὶ ὅσα εἰσοδήματα καὶ χαρίσματα ἔδωκεν εἰς τὰς ἐκκλησίας ὁ ἅγιος Κωνσταντῖνος, τὰ ἔλαβεν αὐτὸς ὁ ἀλιτήριος καὶ τὰ ἀφιέρωσεν εἰς τοὺς μιαροὺς βωμοὺς τῶν εἰδώλων, καταστήσας ζακόρους καὶ νεωκόρους, ράντας καὶ θύτας, κατὰ τὴν τάξιν τῶν ἀσεβῶν εἰδωλολατρῶν. Ταῦτα μὲν ἔπραξεν εἰς τὴν Κωνσταντίνου. Ἔπειτα πνέων θυμὸν πολὺν κατὰ τῶν Χριστιανῶν ἀπῆλθε τάχιστα εἰς τὴν Ἀντιόχειαν, διψῶν νὰ χύσῃ ἁγίων αἵματα. Τότε ἔφεραν πρότερον πάντων ἔμπροσθεν πρὸς αὐτὸν δύο ἱερεῖς Εὐγένιον καὶ Μακάριον καλουμένους, τοὺς ὁποίους ἠρώτησε νὰ εἴπωσι τί ἄνθρωποι ἦσαν. Οἱ δὲ ἀπεκρίθησαν· «τῆς ποίμνης τοῦ Βασιλέως Χριστοῦ εἴμεθα ἀγελάρχαι. »Λέγει πρὸς αὐτοὺς ὁ Ἰουλιανός· «ποῦ εἶναι αὐτὴ ἡ ποίμνη τοῦ Χριστοῦ;» Καὶ ὁ Εὐγένιος· «ὅλη ἡ οἰκουμένη, ὅσοι ἄνθρωποι ὑπὸ τὸν ἥλιον.» Καὶ ὁ βασιλεύς· «τότε ποίους ὁρίζομεν ἡμεῖς καὶ ποῖοι μᾶς ὑποτάσσονται, ἐὰν ὁ Χριστὸς ἔχῃ ποίμνην ὅλην τὴν ὑφήλιον, δυστυχῆ καὶ ταλαίπωρε;» Καὶ ὁ μάρτυς εἶπε· «αὐτῆς τῆς ποίμνης εἶσαι ἐπιστάτης, τῆς ὁποίας καὶ ἡμεῖς ἀγελάρχαι τυγχάνομεν, διότι διὰ μέσου αὐτοῦ τοῦ Χριστοῦ οἱ βασιλεῖς κυριεύουσιν. Αὐτὸς ἔδωκε καὶ εἰς σὲ τὸ βασίλειον σήμερον, καὶ αὔριον σοὶ τὸ ἀφαιρεῖ, διότι ἐφάνης πρὸς τὸν εὐεργέτην ἀχάριστος, διότι ἡ ἐξουσία σου εἶναι προσωρινὴ καὶ ἐφήμερος, ἐν ᾧ Ἐκείνου ἡ βασιλεία εἶναι προαιώνιός τε καὶ ἀτελεύτητος». Καὶ ὁ παραβάτης ἀπήντησεν· «ἀνόσιε, καὶ τῆς τῶν θεῶν εὐμενείας ἀλλότριε, ἐὰν ὁ Χριστός σου εἶναι χθεσινὸς καὶ ἐφήμερος, ὅστις ἐγεννήθη εἰς τοὺς χρόνους τοῦ Αὐγούστου Καίσαρος, πῶς σὺ τὸν ἐχειροτόνησας αἰώνιον σήμερον;» Καὶ ὁ μάρτυς εἶπε· «ναί, κατὰ μὲν τὸ ἀνθρώπινον, οὕτως ἔχει, κατὰ δὲ τὴν θείαν αὐτοῦ καὶ προαιώνιον γέννησιν, εἶναι ἄχρονος καὶ αἰώνιος.» Ὁ δὲ παραβάτης νομίζων, ὅτι ἦτο ὁ μάρτυς ἀγροῖκος καὶ ἀπαίδευτος, εἶπεν αὐτῷ διὰ χλευασμόν. «Λοιπὸν δύο φορὰς ἐγεννήθη ὁ Χριστός σου, ταλαίπωρε; ἐπειδὴ εἰς αὐτὸ καυχᾶσαι, εἶναι καί τινες σοφώτατοι ἄνδρες τῶν Ἑλλήνων, οἵτινες ἐγεννήθησαν οὐ μόνον δύο, ἀλλὰ καὶ τρεῖς φοράς· καὶ πρῶτον ὁ Ἑρμῆς, καθὼς τὰ θαυμάσια αὐτοῦ βιβλία διαλαμβάνουσιν, ὅθεν καὶ τρισμέγιστος ὀνομάζεται, ὁμοίως καὶ ὁ Πυθαγόρας καὶ ἄλλοι τινές.» Ὁ δὲ μάρτυς γελάσας ὀλίγον εἰς τὰ φλυαρήματα τοῦ σοφοῦ βασιλέως, εἶπε πρὸς αὐτὸν μὲ πολλὴν αὐστηρίαν καὶ γενναιότητα· «ἐξ ἀρχῆς ἔπρεπε νὰ μή σοι ἀποκριθῶ τελείως, παρανομώτατε, διότι δὲν εἶσαι ἄξιος ἀπολογίας τινός· ἀλλὰ διὰ τὸν ὄχλον ὅστις παραστέκεται, ὠμίλησα ὀλίγα τινά, καὶ θέλω εἰπῆ καὶ ἕτερα, διὰ νὰ τοὺς ὠφελήσω, πρὸς

Athos Library
Αγιορειτική Βιβλιοθήκη

στερέωσιν τῆς ἀληθοῦς ἡμῶν Πίστεως.» Ταῦτα λέγων ὁ μάρτυς, ἐκήρυξε λαμπρᾷ τῇ φωνῇ ὅλην τὴν σωτήριον οἰκονομίαν τοῦ Δεσπότου Χριστοῦ, τῶν δὲ μιαρῶν θεῶν τὴν ἀδυναμίαν καὶ ἀθλιότητα μυκτηρίζων ἐπὶ ὥραν πολλήν, ὡς ἐπιστήμων καὶ σοφὸς διετραγῴδησεν. Ὁ δὲ βασιλεὺς ἐκέλευσε νὰ τοῦ δώσωσι πεντακοσίους ραβδισμούς, ἐτέλεσαν δὲ οἱ ὑπηρέται τὸ προστασσόμενον, δέροντες ἀνηλεῶς καὶ ἀπανθρώπως τὸν μάρτυρα, ὅστις ἐνεκαρτέρει εἰς τοὺς ραβδισμοὺς σιωπῶν, καὶ μηδὲν φθεγγόμενος. Ὁ δὲ παραβάτης βλέπων τὸν ἅγιον Μακάριον εἶπε. «Καὶ σὺ δυστυχὲς ἀνθρώπιον, τί λέγεις περὶ σεαυτοῦ;» Ὁ δὲ ἀπεκρίνατο· «σὺ εἶσαι δυστυχὴς ἀληθέστατα, καὶ πάντων ἀνθρώπων ἀθλιώτερος. Ἐγὼ δὲ καθὼς ἔχω τὴν ἐπωνυμίαν, οὕτως εἶμαι καὶ ὄντως μακάριος, ὅτι τὸν Χριστὸν προσκυνῶ καὶ σέβομαι· σὺ δὲ ἐπειδὴ αὐτὸν τὸν ἀληθῆ Θεὸν ἀπηρνήθης, προσκολληθεὶς μὲ τοὺς δαίμονας, αὐτοὶ θέλουσι σὲ λάβει εἰς τὸ αἰώνιον πῦρ μεθ' ἑαυτῶν.» Οὕτω λοιπὸν ἐξύβρισε καὶ αὐτὸς ὁ Μακάριος τὸν τρισάθλιον βασιλέα, ὅστις προσέταξε νὰ τὸν δείρωσι καὶ αὐτόν, ὡς καὶ τὸν Εὐγένιον.

γ'. Ὅταν δὲ ταῦτα ἐγίνοντο, τότε καὶ ὁ εὐσεβὴς Ἀρτέμιος ἔφθασεν εἰς τὸν βασιλέα μετὰ τῆς προσηκούσης αὐτῷ τιμῆς καὶ δορυφορίας, ὅτι ἐκεῖνος τῷ ἔστειλε πρότερον γράμματα, νὰ ἔλθῃ ἐκεῖ εἰς τὴν Ἀντιόχειαν ἀπὸ τὴν Συρίαν, ἔνθα εὑρίσκετο, νὰ τὸν συναντήσῃ μὲ ὅλον τὸ στράτευμα. Βλέπων λοιπὸν τοὺς ἁγίους μεμαστιγωμένους τοσοῦτον ἀσπλάγχνως ὁ Ἀρτέμιος, ἐσυμπόνεσεν ἐν τῇ ψυχῇ του, καὶ κρίνων ἐν τῇ διανοίᾳ αὐτοῦ, ὅτι ἐὰν σιωπήσῃ, θέλει φανῇ τῆς εἰδωλολατρείας συγκοινωνὸς καὶ συνήγορος, παρρησιάζεται τὴν εὐσέβειαν, λέγων ταῦτα. «Διατὶ βασιλεῦ, ἀναγκάζεις ἁγίους ἀνθρώπους νὰ ἀρνηθῶσι τὴν πίστιν αὐτῶν καὶ δέρεις τοσοῦτον ἀσπλαχνα; ἄνθρωπος εἶσαι καὶ σὺ ὁμοιοπαθής, τῆς αὐτῆς φύσεως κοινωνὸς· ἂν καὶ βασιλεὺς εἶσαι, ἀπὸ τὸν Θεὸν ἔλαβες αὐτὴν τὴν ἀξίαν· ἀλλ' ὅμως θαρρῶ ὅτι δὲν σὲ ἐποίησεν ὁ Θεὸς βασιλέα, ἀλλ' ὁ πονηρὸς διάβολος, ὁ ὁποῖος σὲ ἐζήτησεν ἀπὸ τὸν Θεόν, ὡς τὸν Ἰὼβ πρότερον, καὶ σὲ ἐχειροτόνησε διὰ νὰ κοσκινήσῃ τὸν σῖτον τοῦ Χριστοῦ, νὰ σπείρῃ ζιζάνια· ἀλλ' εἰς μάτην κοπιᾷ ὁ τρισκατάρατος, καὶ δὲν ἔχει τινὰ δύναμιν, διότι ἀφοῦ ὑψώθη εἰς τὸν Σταυρὸν ὁ Χριστός, ἔπεσε τῶν δαιμόνων ἡ ἔπαρσις, καὶ κατεφρονήθησαν τὰ αὐτῶν μηχανήματα. Μὴ ἀπατᾶσαι λοιπόν, ὦ βασιλεῦ, οὔτε νὰ ἐπιχειρήσῃς νὰ διώκῃς τοὺς χριστιανούς, ἀλλὰ μάνθανε, ὅτι ἡ δύναμις τοῦ Χριστοῦ εἶναι ἀήττητος καὶ ἀνίκητος.» Αὐτὰ καὶ ἕτερα πλείονα εἶπε, περιγελάσας τὸν Ἀπόλλωνα καὶ τοὺς λοιποὺς θεούς, διὸ ἐξεπλάγη ὁ Ἰουλιανός, θαυμάζων τὴν τοσαύτην παρρησίαν, καὶ μετὰ θυμοῦ ἠρώτησε τὴν τάξιν του, λέγων, «τίς, καὶ πόθεν εἶναι οὗτος ὁ ἀλιτήριος;» Οὕτως εἶπεν, ἐπειδὴ δὲν τὸν ἐγνώριζεν, οὔτε τὸν εἶδε πρότερον, διότι, ὅταν ἔγεινεν Αὐγουστάλιος ὁ ἅγιος, ἔλειπεν ὁ Ἰουλιανὸς εἰς τὰς Γαλατίας. Οἱ δὲ στρατιῶται ἀπεκρίθησαν, ὅτι ἦτο ὁ Ἀρτέμιος. Τότε εἶπεν ὁ βασιλεύς. Οὗτος εἶναι ὁ Ἀρτέμιος, ὅστις ἐθανάτωσε τὸν ἀδελφόν μου; εὐχαριστῶ σοι θεοὶ ἀθάνατοι, διότι μοῦ ἐφανερώσατε, αὐτεπάγγελτοι βοηθοί μου, αὐτὸν τὸν ἀλάστορα.» Ταῦτα εἶπεν ὁ Ἰουλιανὸς διότι εἶχεν ἀδελφὸν Γάλλον ὀνόματι, τὸν ὁποῖον μετωνόμασεν ὁ βασιλεὺς Κωνστάντιος Κωνστάντιον καὶ τὸν ἐψήφισε Καίσαρα εἰς τὴν Ἀνατολήν· μετὰ ταῦτα δὲ φανεὶς ἐναντίος τοῦ βασιλέως, ἐφονεύθη τῇ προστάξει αὐτοῦ. Τότε λοιπὸν λέγει πρὸς τοὺς στρατιώτας. «Ἐκβάλατε τὴν ζώνην, ἣν φορεῖ ὁ ἀνάξιος, καὶ αὔριον θέλω ποιήσει τοῦ ἀδελφοῦ μου φοβερὰν ἐκδίκησιν, καὶ δώσει εἰς αὐτὸν μυρίους θανάτους, ἐπειδὴ δὲν ἐφόνευσε κοινὸν ἄνθρωπον, ἀλλ' ἔχυσεν αἷμα βασιλέως, ὅστις δὲν τὸν ἠδίκησε τίποτε.» Εὐθὺς λοιπὸν τὸν ἥρπασαν οἱ δυροφόροι, καὶ γυμνώσαντες αὐτόν, παρέδωκαν εἰς τὰς χεῖρας τῶν δημίων, οἵτινες ἔδεσαν χεῖρας καὶ πόδας του, καὶ τανύσαντες εἰς τέσσαρα, τὸν ἔβερον μὲ βούνευρα εἰς τὴν κοιλίαν καὶ εἰς τὴν ράχιν τοσοῦτον, ἕως οὗ ἀπηύδησαν καὶ ἀντικατεστάθησαν τετράκις ἐκεῖνοι, οἵτινες ἔβερον. Ἀλλ' εἶχε τοσαύτην ὑπομονὴν ὁ τρισμακάριος, ὥστε οὔτε στεναγμόν, οὔτε φωνήν, ἢ ἁπλοῦν λόγον ἐλάλησεν, ἀλλ' ἐφαίνετο εἰς τὴν ὄψιν ἀτρεπτός τε καὶ ἀναλλοίωτος. Ἡ δὲ γῆ ἐκοκκίνησεν ἀπὸ τὸ πλῆθος τοῦ αἵματος, ὥστε οὐ μόνον ὅλοι οἱ περιεστῶτες, ἀλλὰ καὶ αὐτὸς ὁ παραβάτης ἐθαύμασε, καὶ προσέταξε νὰ τοὺς ἀπαγάγωσι καὶ τοὺς τρεῖς εἰς τὴν φυλακήν· οὗτοι δὲ ὑπαγόμενοι ἔψαλλον. «Ἐπύρωσας ἡμᾶς ὁ Θεός, ὡς πυροῦται τὸ ἀργύριον»· (καὶ τὰ ἑξῆς). Λείπεται οὖν τὸ διελθεῖν ἡμᾶς διὰ πυρός τε καὶ ὕδατος, ὅπως εἰς ἀναψυχὴν ἐξαγάγῃς ἡμᾶς. Πληρωθείσης δὲ τῆς εὐχῆς, εἶπεν ὁ Ἅγιος πρὸς ἑαυτόν. «Ἀρτέμιε, ἰδοὺ τὰ στίγματα τοῦ Χριστοῦ ἐχαράχθησαν εἰς τὸ σῶμά σου, σοὶ πρέπει λοιπὸν δι' αὐτὸν νὰ δώσῃς καὶ τὴν ψυχήν σου εἰς θάνατον.» Ἔπειτα ἔλεγεν· «εὐχαριστῶ σοι Κύριε, διότι μὲ ἠξίωσας νὰ βασανισθῶ δι' ἀγάπην σου, καὶ συνηρίθμησας μὲ τὸν χορὸν τῶν ἁγίων σου· ἀλλά, φιλάνθρωπε Δέσποτα, τελείωσόν μου τὸν δρόμον εἰς τὴν ὁμολογίαν σου, καὶ μή με κρίνῃς ἀνάξιον τούτου τοῦ ἐγχειρήματος, ὅτι εἰς τοὺς οἰκτιρμούς σου κατέφυγον.» Ἐνῷ ταῦτα πρὸς ἑαυτὸν προσευχόμενος διελογίζετο, ἔφθασαν εἰς τὴν φυλακὴν καὶ παρέδωκαν αὐτοὺς νὰ τοὺς φυλάττῃ ὁ δεσμοφύλαξ, καὶ οὕτως ἔμειναν δοξάζοντες τὸν Θεόν. Πρωΐας δὲ γενομένης, ἐξώρισε τοὺς δύο εἰς μέρος τι τῆς Ἀραβίας, ὅπερ εἶναι τόπος νοσηρὸς καὶ θανάσιμος, καὶ ὅσοι ἐπέμφθησαν ἐκεῖ, δὲν ἔζησαν ἓν ἔτος, ἀλλὰ βασανιζόμενοι ἀπὸ χαλεπὰς ἀρρωστίας, ἀποθνήσκουσι τὸ ὀργηγορώτερον. Ἐκεῖ λοιπὸν ὑπερορίσας ὁ τύραννος τοὺς ἁγίους Εὐγένιον καὶ Μακάριον, ἐκέλευσε νὰ κόψωσι τὰς κεφαλάς των, καὶ οὕτω μετὰ τεσσαράκοντα ἡμέρας, τῇ κ'. Δεκεμβρίου ἐτελειώθησαν καὶ ἔγεινε θαῦμα ἄξιον μνείας εἰς τὸν τόπον ἐκεῖνον, ὅπου τοὺς ἐθανάτωσαν, ὁ ὁποῖος ἦτο ἄνυδρος, καὶ τὴν ὥραν ἐκείνην ἀνέβλυσε μία βρύσις, καὶ θεραπεύει τὸ ὕδωρ αὐτῆς πᾶσαν ἀσθένειαν, βρύσις ἥτις εὑρίσκεται ἕως τὴν σήμερον, τὴν τῶν Ἁγίων ἐπωνυμίαν φυλάττουσα. Ὁ δὲ βασιλεὺς μετακαλεσάμενος τὸν θεῖον Ἀρτέμιον, εἶπεν αὐτῷ. «Ἡ προπέτειά σου μὲ ἠνάγκασεν ἀκουσίως μου νὰ ἀτιμάσω τὸ γένος σου, καὶ νὰ ἐξυβρίσω τὴν εὐγένειάν σου· ἀλλ' ἐὰν πεισθῇς μοι καὶ θυσιάσῃς εἰς τοὺς ἀθανάτους θεούς, θέλω σὲ ἀπαλλάξει τῆς εὐθύνης τῆς τοῦ ἀδελφοῦ μου σφαγῆς, ἀλλὰ καὶ ἀξίαν μεγάλην θέλεις λάβει, νὰ σὲ ποιήσω ἔπαρχον τῶν Πραιτωριανῶν, καὶ ἀρχιερέα τῶν μεγάλων θεῶν. Θέλω σὲ ὀνομάσει ἀντιβασιλέα, ἵνα ἀπολαύσῃς μετ' ἐμοῦ πᾶσαν εὐημερίαν ὅλον τὸν καιρὸν τῆς ζωῆς σου καὶ μὴ νομίσῃς, πὼς παρεφρόνησαν οἱ ἀρχηγοὶ τῶν Ρωμαίων καὶ οἱ Ἕλληνες νὰ προσκυνῶσι τοὺς θεούς· μάλιστα ὡς ἐγγράμματοι καὶ φρόνιμοι ἐξ αὐτῶν, ἐξ εὐγνωμοσύνης καὶ ἀναγνωρίσεως τῆς ἀξίας τῶν θεῶν, ὡς βλέποντες ὅτι ὁ μὲν ἥλιος εἰς τὸν οὐρανὸν περιπατεῖ καὶ φωτίζει τὸν κόσμον ἵνα ἐργάζωνται οἱ ἄνθρωποι, ἡ δὲ σελήνη ἵνα λαμπαδουχεῖ τὴν νύκτα καὶ βαδίζωσιν οἱ ὁδοιπόροι καὶ οὕτω σέβονται

Athos Library
Αγιορειτική Βιβλιοθήκη

τοὺς θεοὺς αὐτοὺς εὐλόγως, καὶ πρεπόντως ἔχουσιν εἰς αὐτοὺς τὰς ἐλπίδας των. Καὶ τὸν μὲν ἥλιον ὠνόμασαν Ἀπόλλωνα, τὴν δὲ σελήνην Ἄρτεμιν, καὶ ἀπὸ τοὺς πλανήτας, οἵτινες ἔστησαν εἰς τὰς ἑπτὰ ζώνας τοῦ οὐρανοῦ, τὸν ἕνα ὠνόμασαν Κρόνον, τὸν ἄλλον Δία, τὸν ἄλλον Ἑρμῆν, τὸν ἕτερον Ἄρην, καὶ τὸν ὕστερον Ἀφροδίτην, διότι αὐτοὶ κυβερνῶσι τὸν κόσμον μὲ τὴν δύναμίν των. Διὰ τοῦτο ἔστησαν εἰς αὐτοὺς εἰκόνας οἱ ἄνθρωποι καὶ τιμῶσι, καὶ δὲν τιμῶσι τὰς εἰκόνας των ὡς θεούς, ἄπαγε! διότι τοῦτο εἶναι ἀγνωσία μεγάλη· ἀλλὰ ἡ τιμὴ ἣν δίδουσι καὶ ἀπονέμουσιν εἰς τὰς εἰκόνας αὐτῶν, διαβαίνει πρὸς τὸ πρωτότυπον. Λοιπὸν παρακινῶ καὶ τὴν γεννικιότητά σου νὰ συγκοινωνήσῃς εἰς τὴν θρησκείαν μας, καὶ νὰ ἑλληνίζῃς ὀρθῶς, φυλάττων τὰ ἔθη καὶ τὰς συνηθείας τῶν ἀρχαίων ἀπαρασάλευτα, διότι ὁ Κωνσταντῖνος ὡς ἄνθρωπος ἀμαθὴς καὶ ἀνόητος ἐξηπατήθη καὶ ἤλλαξε τὴν θρησκείαν του, καὶ ἐξέκλινεν εἰς τὸν Χριστιανισμόν, τὰς ἀνοσίους αὐτοῦ πράξεις αἰσχυνόμενος, διότι οἱ θεοὶ τὸν ἐδίωξαν μακρὰν ἀπὸ τὴν θρησκείαν των, μισήσαντες αὐτὸν ὡς πονηρὸν καὶ ἐναγῆ, ἐπειδὴ ἀπέκτεινε τοὺς ἀδελφούς του, τὴν γυναῖκά του Φαῦσταν καὶ τὸν υἱόν αὐτοῦ Πρῖσκον, χωρὶς νὰ πταίσωσι τίποτε. Διὰ τοῦτο, θαυμασιώτατε ἀνδρῶν, θεωρῶν τὸ εὐσταθὲς καὶ συνετὸν τῆς διανοίας σου, ἔχω πόθον νὰ σὲ ποιήσω συγκοινωνὸν καὶ φίλον μου. Ἐλθὲ λοιπὸν εἰς τὴν πάτριον, καὶ ἀρχαιοτάτην καὶ πολυχρόνιον τῶν Ρωμαίων θρησκείαν, καὶ συναπόλαυσον τὰ ἀγαθά, ἅτινα οἱ θεοὶ μᾶς ἐχάρισαν.» Ὁ δὲ ἅγιος ἀπεκρίνατο. «Ὅσον διὰ τὴν πίστιν μου, ὦ βασιλεῦ, δὲν σοὶ δίδω ἀπολογίαν τινά, καίτοι ἔχω πολλὰς ἀποδείξεις δι' αὐτήν· διὰ δὲ τὸν θάνατον τοῦ ἀδελφοῦ σου ἀποκρίνομαι, ὅτι δὲν θέλει φανῇ πώποτε ὅτι ἠδίκησα τὴν ζωήν του, οὔτε δι' ἔργου, οὔτε διὰ λόγου, οὔτε κατὰ διάνοιαν. Ἐὰν ἐξετάσῃς περὶ τούτου καὶ μυρίας φοράς, οὕτως εἶναι ἡ ἀλήθεια· διότι τὸν ἐγίνωσκον ὡς Χριστιανὸν θεοφιλῆ καὶ δίκαιον, καὶ εἰς τὸν νόμον τοῦ Χριστοῦ σπουδαῖον καὶ πρόθυμον. Μάρτυρες εἶναι ὁ οὐρανὸς καὶ ἡ γῆ, ὁ χορὸς ὅλος τῶν Ἀγγέλων, καὶ ὁ Δεσπότης Χριστός, ὁ Υἱὸς τοῦ Θεοῦ, τὸν ὁποῖον ἐγὼ λατρεύω, ὅτι δὲν ἔπταισα τίποτε εἰς τὸν θάνατόν του, οὐδαμῶς συνεκοινώνησα μὲ τοὺς ἀνοσίους ἐκείνους, οἵτινες τὸν ἐφόνευσαν, ὅτι ἐγὼ δὲν ἤμην τότε μὲ τὸν Κωνσταντῖνον, ἀλλὰ εἰς τὴν Αἴγυπτον κατῴκουν ἕως τὸν παρόντα χρόνον, καὶ ταύτην τὴν ἀπολογίαν σοὶ δίδω διὰ τὸν ἀδελφόν σου. Ὅσον δὲ διὰ νὰ ἀρνηθῶ τὸν Χριστόν, καὶ νὰ γίνω εἰδωλολάτρης, σοὶ δίδω τὴν ἀπόκρισιν, ὅπου εἶπον τὰ τρεῖς Παῖδες πρὸς τὸν Ναβουχοδονόσορα· «γίνωσκε, βασιλεῦ, πῶς δὲν λατρεύομεν τοὺς θεούς σου, οὔτε τὴν χρυσῆν σου εἰκόνα τὴν τοῦ ἠγαπημένου σου Ἀπόλλωνος θέλομεν προσκυνήσει πώποτε». Ὅτι δὲ τὸν μακάριον Κωνσταντῖνον τὸν πάντων βασιλέων ὑστέρτερον, καὶ τὸ γένος κατέκρινες, ὀνομάζων αὐτὸν μανιώδη καὶ φονέα, ταῦτά σοι δι' αὐτὸν ἀποκρίνομαι· ὅτι μάλιστα ὁ πατήρ σου Κωνστάντιος, καὶ οἱ ἀδελφοί του ἀδίκως ἐθανάτωσαν αὐτὸν διὰ δηλητηρίων, χωρὶς νὰ πταίσῃ εἰς αὐτοὺς τίποτε· ἐκεῖνος δὲ τὴν γυναῖκά του Φαῦσταν δικαίως καὶ πρεπόντως ἐθανάτωσεν, ἐπειδὴ καὶ αὐτὴ μιμουμένη τὴν ἀρχαίαν Φαίδραν, διέβαλε τὸν υἱὸν αὐτοῦ Κρῖσπον, ὅτι βιαίως τὴν ἐδυνάστευσε, καὶ ἔλαβε τὴν τιμήν της. Πιστεύσας λοιπὸν τὰ λόγια της, ὡς πατὴρ ἐπαίδευσε τὸν υἱόν του, ὕστερον δὲ ὅτε ἐγνώρισεν αὐτὴν ψευσαμένην, ὡς δίκαιος κριτὴς τὴν ἀπέκτεινεν. Ἐπίστευσε δὲ εἰς

τὸν Χριστόν, διότι ἐκεῖνος οὐρανόθεν τὸν προσεκάλεσεν, ὅταν εἶχε τὴν μάχην μὲ τὸν Μαξέντιον, καὶ τοῦ ἐφάνη τὸ σημεῖον τοῦ Σταυροῦ ἐν ὥρᾳ μεσημβρίας, ἐξαστράπτον ὑπὲρ τὸν ἥλιον, διὰ γραμμάτων ἐξ ἀστέρων, ἅτινα ἐσήμαινον τὴν ἐν πολέμῳ νίκην, τὸ ὁποῖον σημεῖον εἴδαμεν καὶ ἡμεῖς, καὶ τὰ γράμματα ἀνεγνώσκομεν, οὐ μόνον ἐγώ, ἀλλὰ καὶ πολλοὶ ἀπὸ τοὺς στρατιώτας σου. Ἀλλὰ τί θέλω νὰ διηγοῦμαι τοιαῦτα, ὅπερ σὺ γινώσκεις ἀπὸ ἐμὲ κάλλιον; πῶς ἐξ ἀρχῆς οἱ Προφῆται προκατήγγειλαν τὸν Χριστόν, καὶ πολλὰς μαρτυρίας ἔχομεν τῆς παρουσίας αὐτοῦ, οὐ μόνον εἰς τὰς ἡμετέρας βίβλους, ἀλλὰ καὶ αὐταὶ αἱ χρησμῳδίαι καὶ προφητεῖαι τῶν θεῶν ὅπου σέβεσθε, καὶ τὰ γράμματα τῶν Σιβυλλῶν, καὶ τοῦ Ρωμαίου Βιργιλίου ἡ Βουκολική, ἱκανῶς καὶ φανερὰ λέγουσι διὰ τὸν Χριστόν, ἐὰν θέλῃς νὰ μὴ προσποιεῖσαι τὸν κωφόν· καὶ αὐτὸς ὁ μαντικὸς Ἀπόλλων, ὃν σέβεσθε, θαυμαζόμενος εἶπε περὶ Χριστοῦ τὰ λόγια ταῦτα, ἐρωτηθεὶς ἀπό τινα θεράποντα τοῦ ναοῦ. «Μὴ ὄφελες πῆμα τέν τε καὶ ὕστατον ἐξερέσθαι, δῆμορ ἐμῶν προπόλων, περὶ θεσπεσίοιο θεοῖο, καὶ πνοῆς τῆς πᾶν πέριξ βοτρυδὸν ἐχούσης, τείρεα, φῶς, ποταμούς, καὶ τάρταρον, ἠέρα, καὶ ὕδωρ, καὶ πῦρ. Ἐμὲ καὶ οὐκ ἐθέλοντα δόμων τῶν ᾧδε διώκει. Ἡ ἐμοὶ τριπόδων ἔτι λείπετο ἠριγένεια. Αἰᾶς ἐμὲ τριπόδες στοναχήσατε, οἴχετ' Ἀπόλλων, οἴχετ' ἐπεὶ βροτός με διακζετε οὐράνιος. Καὶ ὁ παθὼν Θεὸς ἐστί, καὶ οὐ θεότης πάθεν αὐτή.» Ἤτοι, «ὦ ταλαίπωρε, ἀπὸ τοὺς ὑπηρέτας μου, εἶθε νὰ μή με ἤθελες ἐρωτήσει τὸ ὁλοὔστερον καὶ τελευταῖον, διὰ τὸν θαυμάσιον Θεόν, καὶ διὰ τὴν ἀναπνοήν, ἡ ὁποία ἔχει συνηγμένα ὁλόγυρά της ὅλα τὰ ἄστρα, τὸ φῶς, τοὺς ποταμοὺς καὶ τὸν ἅδην, τὸν ἀέρα καὶ τὸ ὕδωρ καὶ τὸ πῦρ, ἡ ὁποία καὶ μετὰ βίας μὲ διώκει ἀπ' ἐδῶ ἀπὸ τὸν οἶκόν μου· ἀκόμη ἔλλειψεν ἀπὸ τοὺς τρίποδας καὶ ὁ αὐγερινός· ἀλλοίμονον! ὦ τρίποδες θρηνήσατε καὶ σεῖς, ἐπῆγεν ὁ Ἀπόλλων εἰς τὴν ἀπώλειαν, ἐπειδὴ ἄνθρωπος μὲ ἀναγκάζει, ἄνθρωπος οὐράνιος· καὶ ἐκεῖνος ὅπου ἔπαθεν ἦτο Θεός, ἡ θεότης δὲ αὐτὴ δὲν ἔπαθεν.» Ὁ δὲ παραβάτης ἀπεκρίνατο· φαίνεταί μοι, Ἀρτέμιε, ὅτι δὲν ἦλθες στρατηγὸς εἰς τὴν Αἴγυπτον, ἀλλὰ χρησμολόγος, ἢ μᾶλλον εἰπεῖν κωμολόγος, ἢ μῖμος νὰ διηγῆσαι μύθους παλαιούς, καὶ λογύδρια, ἅπερ λέγουν αἱ γραῖαι, ὅταν μεθύσωσι.» Καὶ ὁ ἅγιος λέγει. «Δὲν ἐνόησας καλά, ὦ βασιλεῦ, ἀξίως τῆς ἀρετῆς καὶ σοφίας σου, ὅτι ἀπὸ τοὺς θεούς σας καὶ τὰ ποθητά σας μαθήματα σοὶ δίδω τὰς ἀποδείξεις, διὰ νὰ μάθῃς ἐξ ἐκείνων, ἅπερ γνωρίζεις, τὸ τῆς ἀληθείας μυστήριον, καὶ μὴ θαρρῇς πῶς καλλωπίζομαι μὲ τῶν Ἑλλήνων τὰ ῥήματα· μὴ γένοιτο, νὰ λιπάνῃ ἔλαιον ἁμαρτωλοῦ τὴν κεφαλήν μου ἀλλά, φροντίζων διὰ τὴν ψυχήν σου, κινῶ πάντα λίθον μήπως καὶ πεισθῇς· ἀλλὰ ὑπολαμβάνων ὅτι καθὼς ἐτύφλωσε τὸν πρωτόπλαστον Ἀδὰμ ὁ διάβολος μὲ τὴν βρῶσιν τοῦ φυτοῦ, οὕτω καὶ σέ, φθονῶν σε τῆς σωτηρίας, ἀπεγύμνωσε τῆς τοῦ Χριστοῦ πίστεως. Διότι τὸν ἥλιον καὶ τὴν σελήνην, καὶ τοὺς ἀστέρας ὀνομάζεις θεούς, αἰσχύνομαι τὴν ἀμάθειάν σου, διὰ νὰ μὴ εἰπῶ τὴν κακοβουλίαν. Ἀλλὰ τίς ἡ χρεία νὰ μακρολογῶ; δὲν ἀρνοῦμαι τὸν Χριστόν, μὴ γένοιτο! δὲν ἀσπάζομαι τὴν μυσαρὰν τῶν Ἑλλήνων ἀσέβειαν, ἀλλὰ εἰς ἐκεῖνα ἅπερ ἐδιδάχθην ἐπιμένω ἕως τέλους, φυλάττων τὰς παραδόσεις τῶν πατέρων.» Πρὸς ταῦτα ὁ παράβαίνης ἔμεινεν ἄφωνος, ἀπορῶν καὶ θαυμάζων τὸ πολυμαθὲς τοῦ μάρτυρος, καὶ πρὸς ἀπόκρισιν ἑτοιμότατον, πρὸς τὸν ὁποῖον πάλιν εἶπεν ὁ ἅγι-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ος. «Ἄφες, ὦ βασιλεῦ, τὴν πικράλογον καὶ πικρὰν τῶν Ἑλλήνων θρησκείαν, καὶ πρόσελθε τῷ Χριστῷ, ὅστις εἶνε μακρόθυμος, καὶ δέχεταί σε μετανοοῦντα.» Ὁ δὲ ἀπεκρίνατο. «Ἐπειδὴ τοὺς λόγους μου ἐφύλισας, κακὴ κεφαλή, καὶ ἐτόλμησας νὰ μὲ ποιήσῃς χριστιανόν, νὰ σὲ ἀντιφιλοτιμήσω καὶ ἐγὼ πρεπόντως.» Ταῦτα εἰπών, προσέταξε νὰ τὸν ξεγυμνώσωσι, καὶ νὰ πυρώσωσι σούβλας σιδηρᾶς, νὰ τρυπήσωσι τὰς πλευράς του, νὰ κατακεντῶσι τὴν ράχιν του με τριβόλους ὀξεῖς, καὶ νὰ τὸν σύρωσιν ἀνάσκελα διὰ νὰ καταξεσχίσωσι τὰς σάρκας του. Βασανιζόμενος λοιπὸν ὁ μάρτυς ἐπὶ ὥρας πολλάς, εἶχε τὴν αὐτὴν καρτερίαν, ὡς καὶ πρότερον, καὶ οὔτε φωνή, οὔτε στεναγμὸς ἐξῆλθεν ἀπὸ τὸ στόμα του· ὅθεν ἠγέρθη ἀπὸ τὸν θρόνον ὁ τύραννος περίλυπος, ὡς νενικημένος, προστάσσων νὰ φυλακίσωσι τὸν ἅγιον, καὶ νὰ μὴ τῷ δώσωσι ἄρτον, ἢ ὕδωρ, οὔτε ἄλλο τι βρώσιμον.

δ΄. Εὐχόμενος λοιπὸν εἰς τὴν φυλακὴν ὁ ἅγιος, ἐν τῷ μέσῳ τῆς νυκτός, βλέπει τὸν Δεσπότην λέγοντα αὐτῷ. «Καθὼς σύ, μὲ ὡμολόγησες ἐνώπιον τῶν ἀνθρώπων ἐπὶ τῆς γῆς, θέλω σὲ ὁμολογήσει καὶ ἐγὼ εἰς τοὺς οὐρανοὺς ἐνώπιον τοῦ Πατρός μου· οὐ μόνον δέ, ἀλλὰ καὶ ἐδῶ θὰ εἶμαι ἀντιλήπτωρ καὶ βοηθός σου.» Ταῦτα ἀκούσας ἀπὸ τὸν Χριστὸν ὁ μάρτυς, ἔλαβε θάρρος καὶ δύναμιν, καὶ εὐθὺς εὑρέθη ὅλος ὑγιὴς καὶ τεθεραπευμένος, μὴ ἔχων ποσῶς εἰς τὴν ἁγίαν αὐτοῦ σάρκα σημεῖον πληγῆς, οὔτε ἴχνος μώλωπος· ὅθεν ὅλην τὴν νύκτα ἀνέπεμπε τῷ Θεῷ δοξολογίας καὶ χάριτας. Διέμεινε δὲ ἡμέρας δεκαπέντε εἰς τὴν φυλακὴν ἄσιτος, μὴ τρώγων ἐξ ἀνθρώπων τίποτε· ἀλλὰ μόνον μὲ ἄρτον Ἀγγέλων τρεφόμενος, ἤτοι μὲ τὴν χάριν τοῦ παναγίου Πνεύματος. Ὁ δὲ Ἰουλιανὸς ὑπῆγεν εἰς τὴν Δάφνην νὰ προσφέρῃ θυσίαν πρὸς τὸν ἠγαπημένον αὐτοῦ Ἀπόλλωνα. Αὐτὴ δὲ ἡ Δάφνη εἶναι προάστειον καὶ χωρίον ἀπὸ τὰ ὑψηλότερα τῆς Ἀντιοχείας, τόπος ὡραιότατος μὲ βρύσεις καὶ δένδρα πολλὰ καὶ διάφορα, καὶ μάλιστα κυπαρίσσια μεγάλα καὶ θαυμάσια, ἔχει δὲ οἰκοδομὰς καὶ λουτρὰ λαμπρά τε καὶ πλούσια, καὶ ἄλλα ὡραῖα πράγματα. Εἰς τοῦτον τὸν εὔμορφον τόπον εἶναι καὶ εἴδωλα τῶν δαιμόνων, καὶ ἐξόχως τοῦ Ἀπόλλωνος, ὃν ἐξ ἀρχῆς ἐτίμων καὶ ἐσέβοντο περισσότερον, καὶ δι' αὐτὸ ἔχουσι κατεσκευασμένον τὸ ἄγαλμα, ἤτοι τὴν στήλην αὐτοῦ μὲ ἄμπελον χρυσῆν, καὶ περιπλέκεται τὸ σῶμα αὐτοῦ μὲ τέχνην καὶ συμφυὲν θαυμάσιον, καὶ κάλλος ἄφραστον, διότι ἐκεῖ συνέβη καὶ τὸ πάθος τῆς παρθένου Δάφνης, καθὼς μυθολογοῦσιν οἱ Ἕλληνες, καὶ δι' αὐτὸ ἔχει τὴν ἐπωνυμίαν ὁ τόπος. Ὁ δὲ Ἀπόλλων βαστᾷ τὴν μουσικὴν κιθάραν εἰς χεῖράς του, καὶ οἱ πλόκαμοι τῆς κεφαλῆς του, καὶ ὁ στέφανος ἠθισμένος τῆς Δάφνης, εἶναι ἠνωμένοι μὲ τὸ χρυσίον καὶ ἐξαστράπτει εἰς τὰ ὄμματα τῶν ὁρώντων, εἰς δὲ τὸν τόπον τῶν ὀφθαλμῶν του ἔχουσι δύο λίθους ὑακίνθους μεγάλους καὶ πολυτίμους. Τούτων λοιπὸν τῶν πλουσίων στολισμῶν ἡ φαινομένη ὡραιότης ἐδελέαζε τοὺς ὁρῶντας νὰ προσκυνῶσι αὐτὸν περισσότερον ἀπὸ τὰ λοιπὰ ἀγάλματα, καθὼς ἔπαθε καὶ αὐτὸς ὁ Ἰουλιανός, ὅστις τὸν εἶχεν εἰς τοσαύτην εὐλάβειαν, καὶ ἐθυσίαζεν αὐτῷ χίλια ζῶα ἀπὸ παντὸς εἴδους διὰ νὰ τῷ δίδῃ χρησμοὺς καὶ ἀπόκρισιν. Οὕτω λοιπὸν ποιήσας ὁ ἀνόητος βασιλεὺς τὴν θυσίαν καὶ τότε, ὡς καὶ ἄλλοτε, ἀλλὰ οὐδένα λόγον εἶπεν εἰς αὐτὸν ὁ δαίμων, διὸ θαυμάζων δι' αὐτό, προσέταξε τοὺς μιαροὺς ἱερεῖς νὰ ποιήσωσι δεήσεις καὶ ἀγρυπνίας εἰς τοὺς θεούς, νὰ μάθωσι τὴν αἰτίαν τοῦ πράγματος. Ἐκοπίασαν λοιπὸν

Μοναχὸς γὰρ θυμώδης καὶ μνησίκακος, ἐὰν καὶ νεκροὺς ἀνιστᾷ, καὶ διὰ τὸν Χριστὸν ἐὰν μαρτυρήσῃ, οὐκ ἔστι δεκτὸς παρὰ τῷ Θεῷ, ἀλλὰ εἰς τὴν αἰώνιον κόλασιν καταδικάζεται. Μὴ γίνεσαι κενόδοξος καὶ ὑπερήφανος μήτε ἐν τῇ γνώσει σου καὶ σοφίᾳ μήτε ἐν τοῖς λόγοις σου καὶ ἔργοις, μήτε εἰς τὰ καλὰ καὶ λαμπρά σου φορέματα. Ἐκ τούτων γὰρ προέρχονται πάντα τὰ ὀλέθρια πάθη σου. Ὅθεν ὅσον καὶ μέγας ἂν εἶσαι, τοσοῦτον ταπείνωσον σεαυτὸν ἀδελφέ, ἐὰν θέλῃς σωθῆναι. «Κύριος ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν». Μὴ γίνεσαι ψεύστης καὶ ὑποκριτὴς ἐν τοῖς λόγοις σου μήτε ἐν τοῖς ἔργοις σου, διὰ νὰ μὴ σὲ καταδικάσῃ ὁ Κύριος ἐν ἐκείνῃ τῇ φοβερᾷ ἡμέρᾳ. Πρόσεχε καλῶς καὶ φύλαττε τὸν νοῦν σου ἀκριβῶς, νὰ μὴ συλλογίζεται λογισμοὺς πορνείας, βλασφημίας, κατακρίσεις, ἢ γογγυσμοὺς κατὰ τῶν ἀδελφῶν σου. Ἐνθυμοῦ πάντοτε καὶ ἔχε κατὰ νοῦν σου, ὅτι ἀφοῦ ἐμόνασας, ἐπωλήθης ὡς δοῦλος ἑκουσίως, νὰ δουλεύῃς τῷ Χριστῷ καὶ τὴν Ἀδελφότητα, διὰ τὰς ἁμαρτίας σου. Νὰ ἔχῃς πᾶσαν ὑποταγὴν καὶ ὑπακοήν. οὐ μόνον εἰς τὸν Ἡγούμενον, ἀλλὰ καὶ εἰς ὅλους τοὺς ἀδελφούς, μικρούς τε καὶ μεγάλους. Ἐξομολογοῦ πάντοτε καὶ συχνὰ εἰς τὸν Ἡγούμενον τὰς ἁμαρτίας σου, καὶ ἔχε πίστιν βεβαίαν εἰς αὐτόν, εἰ καὶ ἄλλοι τὸν κατηγοροῦν, σὺ ὅμως οὐδέποτε μὴ συμφωνήσῃς μετ' ἐκείνων, διότι ἔχομεν τὸν Θεὸν δίκαιον Κριτήν. Ἄνευ εὐλογίας τοῦ Γέροντός σου, μὴ δώσῃς μήτε ἀγοράσῃς μήτε πωλήσῃς κανένα πρᾶγμα τοῦ Κοινοβίου. Ἀκόμη καὶ ἐν τῇ κέλλᾳ σου νὰ μὴ ἔχῃς χρήματα κρυφίως, οὔτε φαγητὸν ἢ ποτόν, μήτε ἄλλο τι πρᾶγμα, διότι εἶναι ἀσυγχώρητον ἄνευ εὐλογίας τοῦ Ἡγουμένου σου, νὰ ἔχῃς τοιαῦτα. Νὰ μὴν ἔχῃς παρρησίαν καὶ θάρρος μὲ κανένα ἄνθρωπον, εἴτε μέγαν, εἴτε μικρὸν, διότι, λέγει ὁ Ἅγιος Ἐφραίμ, γέλως καὶ παρρησία, ἀπολλύουν τὸν Μοναχὸν καὶ τὸν θανατώνουν. Μὴ ζητήσῃς ποτὲ πρωτεῖα, εἴτε ἐν τῇ Γεροντίᾳ, εἴτε ἐν τῇ Ἐπιτροπῇ, εἴτε ὡς Προϊστάμενος, διὰ νὰ μὴν ὑποπέσῃς ἔπειτα εἰς τὸν ἐωσφορικὸν τῆς ὑπερηφανείας λάκκον. Νὰ πηγαίνῃς πρῶτος εἰς τὰς κοινὰς ἐργασίας τοῦ Μοναστηρίου, καὶ νὰ μὴν ἀργολογεῖς μετὰ τῶν ἀδελφῶν, ἀλλὰ νὰ ἐργάζεσαι τὸ κατὰ δύναμιν σωματικῶς καὶ ἀδιαλείπτως προσευχόμενος. Νὰ πηγαίνῃς προθύμως

εἰς τὰς ἀκολουθίας καὶ ἀγρυπνίας τῆς ἐκκλησίας, καὶ κατὰ πάντα νὰ κόπτῃς τὸ θέλημά σου, καὶ νὰ προτιμᾷς ἀπ' ὅλα τὴν μακαρίαν ὑπομονήν, ἤτις κατὰ τοὺς θείους Πατέρας, λογίζεται μαρτύριον.

Περὶ ἡσυχίας.

Ἐὰν ὀψέποτε σὲ ἐνοχλήσουν οἱ λογισμοὶ τῆς οἰήσεως καὶ τῆς ὑψηλοφροσύνης περὶ ἡσυχίας, διὰ νὰ ὑπάγῃς κατὰ μόνας εἰς τὴν ἔρημον, νὰ μὴ δέχεσαι τοὺς τοιούτους λογισμούς, διότι εἶναι τῆς ὑπερηφανίας, ἐκ τοῦ δαίμονος προερχόμενοι. Ἄκουσον νῦν τί λέγει ἡ θεία Γραφή, περὶ τοῦ κατὰ μόνας ἡσυχάζοντος. Οὐαὶ τῷ ἑνί, ὅτι ἐὰν πέσῃ εἰς ἀμέλειαν ἢ εἰς καμμίαν πλάνην καὶ οἴησιν δαιμονικὴν, δὲν θὰ εὑρίσκεται κανεὶς νὰ τὸν διορθώσῃ. Διὰ τοῦτο ὁ ἡσυχαστὴς, πρέπει πρῶτον νὰ κατορθώσῃ τὰς ἀρετὰς, ἐν μέσῳ πολλῶν ἀδελφῶν, δοκιμαζόμενος ὑπ' αὐτῶν, νὰ νικήσῃ τὸν θυμόν, τὴν ἐπιθυμίαν, καὶ τὰ λοιπὰ θελήματα τῆς σαρκὸς καὶ πάθη, καὶ νὰ ἀποκτήσῃ τὰς μεγάλας ἀρετάς. Τὴν βαθυτάτην καὶ ἀληθῆ ταπεινοφροσύνην, τὴν πρὸς Θεὸν ἀγάπην καὶ τοῦ πλησίον, νὰ ὑπομένῃ πεῖναν, δίψαν, γυμνότητα, νὰ ἔχῃ προσευχὴν ἀδιάλειπτον καὶ ἀγρυπνίαν, ἔρωτα διακαῆ πρὸς τὸν Θεόν, κατάνυξιν παντοτεινήν, καὶ ἀείρυτα δάκρυα, ἔτι δὲ νὰ ἔχῃ καὶ ἔμπειρον πνευματικὸν διὰ νὰ λαμβάνῃ παρ' ἐκείνου ἀγαθὰς συμβουλὰς, καὶ ἄνευ τῆς συμβουλῆς τοῦ πνευματικοῦ του, νὰ μὴ πράττῃ τίποτε. Ἐὰν ὅμως δὲν πολιτεύεται οὕτως, ἀλλὰ περιπατῇ κατὰ τὸ θέλημά του, καὶ πράττει ὅτι τῷ ἀρέσει, ἀναμφιβόλως θὰ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ὑποπέσῃ εἰς μεγάλους κυνδύνους, πλανώμενος ὑπὸ τῶν δαιμόνων, ὅπως ἔπαθον πολλοὶ ἐρημῖται καὶ ἡσυχασταί. Διὰ τοῦτο λέγει εἷς Ἅγιος, ὅτι πολὺ προτιμώτερον εἶναι τὸ νὰ ὑποτάσσεται κανεὶς εἰς ἄλλον ὑποτακτικόν, παρὰ νὰ εἶναι μόνος του, καὶ νὰ ποιῇ τὸ θελημά του, ἀγαθοὶ γὰρ οἱ δύο ὑπὲρ τὸν ἕνα.

Περὶ Μαρτυρίου

Ἐκεῖνος ὅστις θέλει ν'ἀθλήσῃ νομίμως, ἤτοι νὰ μαρτυρήσῃ διὰ τὸν Χριστόν, πρέπει νὰ ἔχῃ τὴν ἀληθινὴν καὶ τελείαν ταπεινοφροσύνην, τὴν τελειότητα τῆς πρὸς τὸν Θεόν καὶ τοῦ πλησίον καθαρᾶς καὶ ἀγνῆς ἀγάπης, ἔτι δὲ ἀδιάλειπτον προσευχήν, κατάνυξιν καὶ πηγὴν δακρύων, διὰ νὰ ἔχῃ βοηθὸν τὸν Θεόν, ὅστις λέγει ὅτι «ἄνευ ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν· τὸ μὲν πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής», καὶ διὰ τοῦτο εἶναι μάλιστα ἐπικίνδυνον τὸ μαρτύριον. Λέγει γὰρ ὁ θεῖος Παῦλος «ἐὰν δὲ καὶ ἀθλῇ τις, οὐ στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ».

Περὶ Ἱερωσύνης

Γίνωσκε καλῶς, ὅτι πολλοὶ χειροτονοῦνται μὲν ἱερεῖς, ὀλίγοι δὲ εἶναι ἄξιοι. Λέγει γὰρ ὁ θεῖος Χρυσόστομος, ὅτι «ὁ Θεὸς οὐ πάντας χειροτονεῖ»· καθότι ὅσον ἐστὶ τὸ ὕψος τῆς ἱερωσύνης, τοσοῦτο χρειάζεται νὰ ἔχῃ ὁ ἱερεὺς καὶ τὸ βάθος τῆς ταπεινοφροσύνης. Ἀλλ' ὅμως εἶναι μερικοί, ὅτι οὐ μόνον ἀναξίως καὶ παρανόμως χειροτονοῦνται, ἀλλ' ἔχουν τὴν ἱερωσύνην διὰ τὴν δόξαν τῶν ἀνθρώπων καὶ ὡς ἐπάγγελμα διὰ τὰς σωματικὰς αὐτῶν ἡδονὰς καὶ ἀναπαύσεις. Ὅμως οὐαὶ τοῖς τοιούτοις, ὅτι εἰς αὐτοὺς θέλει πληρωθῆ, ὁ λόγος τοῦ Κυρίου ἐν τῷ Εὐαγγελίῳ. «Πολλοί ἐροῦσί με, ἐν ἐκείνῃ τῇ ἡμέρᾳ τῆς κρίσεως. Κύριε ἐφάγομεν ἐνώπιόν σου καὶ ἐπίομεν (ἤτοι ἐλειτουργήσαμεν καὶ ἐκοινωνήσαμεν τὰ ἅγια Μυστήρια,) καὶ τότε ἐρεῖ αὐτοῖς. «οὐκ οἶδα ἡμᾶς· ἀπόστητε ἀπ' ἐμοῦ οἱ ἐργάται τῆς ἀνομίας.» Σπούδασον λοιπὸν, ἀγαπητὲ ἀδελφέ, ἐὰν εἶσαι ἱερεύς, νὰ εἶσαι καθαρὸς εἰς τὴν ψυχήν, τὸν νοῦν καὶ τὸ σῶμα, καὶ κατὰ πάντα τέλειος καὶ ἅγιος. Εἰ δὲ καὶ δὲν ἔλαβες τὴν ἱερωσύνην, μὴ ζήτει ταύτην, κἂν σοὶ φαίνεται ὅτι εἶσαι ἄξιος. Ἐπειδὴ βλέπομεν πολλοὺς ἁγίους τῆς ἐκκλησίας, μάρτυρας καὶ ὁσίους, οἱ ὁποῖοι δὲν ἠθέλησαν τὴν ἱερωσύνην, ἂν καὶ ἄξιοι ἦσαν. Ἀλλ' ὅμως διὰ τοὺς κατὰ Θεὸν πολλοὺς ἀγῶνας αὐτῶν καὶ ἀρετάς, ἔγιναν τέλειοι ἅγιοι καὶ τοὺς προσκυνοῦμεν, καὶ τὴν μνήμην αὐτῶν ἑορτάζομεν. Καὶ ἄλλοι πάλιν ὅπου ἐγειροτονήθησαν Ἀρχιερεῖς καὶ Πατριάρχαι, ἀνάξιοι ὄντες καὶ ἀμαρτωλοί, ἀπῆλθον εἰς τὴν αἰώνιον καταδίκην. Ταῦτα δὲ λέγω, οὐχ ὅτι ἡ ἱερωσύνη εἶναι αἰτία τῆς καταδίκης τοῦ ἀνθρώπου, μὴ γένοιτο, ἀλλ' ἡ ἀσθένεια τοῦ νοὸς τοῦ ἀνθρώπου· ἐπειδὴ ἐνοχλεῖται πολλάκις ὁ νοῦς, ἐκ πολλῶν καὶ ἐμπαθῶν νοημάτων, καὶ πρὸ πάντων ἐκ τοῦ κρυπτοῦ πάθους τῆς κενοδοξίας. Ὅθεν βλέπων ὁ ἱερωμένος νὰ τιμᾶται καὶ νὰ προσκυνεῖται παρὰ τῶν ἀνθρώπων, εὐθὺς ἔσωθεν ὁ λογισμός του χαίρει καὶ σκιρτᾷ, καὶ ὑπερηφανεύεται. Διὰ τοῦτο λοιπὸν εὐκολώτερον σφ-

ζεται ὁ ταπεινόφρων ἰδιώτης, παρὰ ὁ κενόδοξος ἱερωμένος.

(Ἀκολουθεῖ).

ΙΠΠΟΛΥΤΟΥ

Περὶ τῶν 70 Ἀποστόλων

(Κατάλογος)

1) Ἰάκωβος ὁ ἀδελφόθεος, Ἐπίσκοπος Ἱεροσολύμων. 2) Κλεόπας Ἐπίσκοπος Ἱεροσολύμων. 3) Ματθίας ὁ ἀναπληρώσας τὸν τόπον τῶν δεκατεσσάρων. 4) Θαδδαῖος ὁ τὴν ἐπιστολὴν Αὐγάρῳ κομίσας. 5) Ἀνανίας Ἐπίσκοπος Δαμασκοῦ ὁ βαπτίσας Παῦλον. 6) Στέφανος ὁ πρωτομάρτυς. 7) Φίλιππος ὁ τὸν εὐνοῦχον βαπτίσας, ὁ καὶ πρώτος ἐξ ἐθνῶν πιστεύσας μετὰ τῶν θυγατέρων αὐτοῦ. 8) Πρόχορος Νικομηδείας. 9) Νικάνωρ, ἀπέθανεν ὅτε Στέφανος ἐμαρτύρησε. 10) Σίμων Ἐπίσκοπος Βόστροις. 11) Παρμενᾶς Ἐπίσκοπος Σόλων. 12) Βαρνάβας Ἐπίσκοπος Μεδιολάνων. 13) Νικόλαος Ἐπίσκοπος Σαμαρείας. 14) Μάρκος ὁ Εὐαγγελιστής, Ἐπίσκοπος Ἀλεξανδρείας. 15) Λουκᾶς ὁ Εὐαγγελιστής. Οὗτος ἅμα Μάρκῳ, ἐκ τῶν ἑβδομήκοντα τυγχάνοντες, διεσκορπίσθησαν ἐπὶ τῷ ῥήματι, ᾧ εἶπεν ὁ Κύριος: «ἐὰν μή τις μου φάγῃ τὴν σάρκα καὶ πίῃ μου τὸ αἷμα οὐκ ἔστι μου ἄξιος». Ἀλλ' ὁ μὲν διὰ Πέτρου, ὁ δὲ διὰ Παύλου πάλιν ἐπανακάμψαντες πρὸς Κύριον, εὐαγγελίζεσθαι καταξιοῦνται, ὑπὲρ οὗ καὶ ἐμαρτύρησαν, ὁ μὲν πυρποληθείς, ὁ δὲ σταυρωθεὶς ἐπὶ ἐλαίας. 16) Σίλας Ἐπίσκοπος Κορίνθου. 17) Σιλουανὸς Ἐπίσκοπος Θεσσαλονίκης. 18) Κρήσκης Ἐπίσκοπος Καρχηδόνος ἐν Γαλλίαις. 19) Ἐπαινετὸς Ἐπίσκοπος Καρθαγένης. 20) Ἀνδρόνικος Ἐπίσκοπος Παννονίας, 21) Ἀμβλίας (Ἀμπλίας) Ἐπίσκοπος Ὀδύσσου. (Ὀδησσοῦ ἴσως) 22) Οὐρβανὸς Ἐπίσκοπος Μακεδονίας. 23) Στάχυς Ἐπίσκοπος Βυζαντίου. 24) Βαρνάβας ἐπίσκοπος Ἡρακλείας. 25) Φύγελλος Ἐπίσκοπος Ἐφέσου καὶ τὰ Σίμωνος ἐφρόνησεν. 26) Ἑρμογένης καὶ οὗτος ὁμόφρων αὐτοῦ γέγονε. 27) Δημᾶς καὶ οὗτος ἱερεὺς εἰδώλων γέγονεν. 28) Ἀπελλῆς Ἐπίσκοπος Σμύρνης. 29) Ἀριστόβουλος Ἐπίσκοπος Βρεττανίας. 30) Νάρκισσος Ἐπίσκοπος Ἀθηνῶν. 31) Ἡρωδίων Ἐπίσκοπος Ταρσοῦ. 32) Ἄγαβος προφήτης. 33) Ρούφων (Ροῦφος) Ἐπίσκοπος Θηβῶν, 34) Ἀσύγκριτος Ἐπίσκοπος Ὑρκανίας. 35) Φλέγων Ἐπίσκοπος Μαραθῶνος. 36) Ἑρμῆς Ἐπίσκοπος Δαλματίας. 37) Πατρονᾶς Ἐπίσκοπος Ποτόλης. 38) Ἑρμᾶς Ἐπίσκοπος Φιλιππουπόλεως. 39) Λῖνος Ἐπίσκοπος Ρώμης. 40) Γάϊος Ἐπίσκοπος Ἐφέσου. 41) Φιλόλογος Ἐπίσκοπος Σινώπης. 42) Ὀλυμπᾶς Ἐπίσκοπος. 43) Ροδίων ἐν Ρώμῃ ἐμαρτύρησε σὺν τῷ Παύλῳ. 44, Λούκιος Ἐπίσκοπος Λαοδικείας Συρίας. 45) Ἰάσων Ἐπίσκοπος Ταρσοῦ. 46) Σωσίπατρος Ἐπίσκοπος Ἰκονίου. 47) Τέρτιος Ἐπίσκοπος Ἰκονίου. 48) Ἔραστος Ἐπίσκοπος Παλιάδος (;) 49) Κούαρτος Ἐπίσκοπος Βηρυτοῦ. 50) Ἀπολλὼς Ἐπίσκοπος Καισαρείας. 51) Πέτρος Ἐπίσκοπος Κονείας. 52) Σωσθένος Ἐπίσκοπος Κολοφῶνος. 53) Τυχικὸς Ἐπίσκοπος Κολοφῶνος. 54) Ἐπαφρόδιτος Ἀνδριάκης. 55) Καῖσαρ Ἐπίσκοπος Δυρραχίου. 56) Μάρκος ὁ ἀνεψιὸς Βαρνάβα, Ἐπίσκοπος Ἀπολλωνείας. 57) Ἰοῦστος Ἐπίσκοπος Ἐλευθερουπόλεως. 58) Ἀρτεμᾶς Ἐπίσκοπος Λύστρας.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

59) Κλήμης Ἐπίσκοπος Ἀρδανείας. 60) Ὀνησιφόρος Ἐπίσκοπος Κορωνείας. 61) Τυχικὸς Ἐπίσκοπος Καλχιδόνος. 62) Κάρπος Ἐπίσκοπος Βερροίας τῆς Θράκης. 63) Εὔοδος Ἐπίσκοπος Ἀντιοχείας 64) Ἀρίσταρχος Ἐπίσκοπος Ἀπαμείας τῆς Συρίας. 65) καὶ 66) Μάρκος καὶ Ἰωάννης Ἐπίσκοποι Μηλουπόλεως(;) 67) Ζηνᾶς Ἐπίσκοπος Διοσπόλεως. 68) Φιλήμων Ἐπίσκοπος Γάζης. 69) Ἀρίσταρχος 70) Πούδης 71) Τρόφιμος σὺν τῷ Παύλῳ ἐμαρτύρησαν.

Περὶ Πατριαρχῶν Ρώμης

(Κατάλογος)

1) Πέτρος Ἀπόστολος Ἐπίσκοπος ἔτη κδ΄. 2) Λῖνος ἔτη δ΄. 3) Ἀνέκλητος ἔτη ιβ΄. 4) Κλήμης ἔτη θ΄. 5) Εὐάρεστος ἔτη ι΄. 6) Ἀλέξανδρος ἔτη ιγ΄. 7) Ξύστος ἔτη ι΄. 8) Τελεσφόρος ἔτη ια΄. 9) Ὑγεινός ἔτη ιβ΄. 10) Πῖος ἔτη ιε΄. 11) Ἀνίκητος ια΄. 12) Σωτήριχος η΄. 13) Ἐλευθέριος ιγ΄. 14) Βίκτωρ ι΄. 15) Ζέφυρος ιη΄. 16) Κάλλιστος η΄. 17) Ὀρβανὸς ζ΄. 18) Ποντιανὸς θ΄. 19) Ἀντέρας η΄. 20) Βέρας λε΄. 21) Φλαβιανὸς ι΄. 22) Κορνήλιος γ΄. 23) Λούκιος μῆνας η΄. 24) Στέφανος δ΄, 25) Ξύστιος ια΄. 26) Διονύσιος θ΄. 27) Φίλιξ ε΄. 28) Εὐτυχιανὸς μῆνας η΄. 29) Γάϊος ιβ΄. 30) Μάρκελλος δ΄. 31) Μιλτιάδης δ΄. 32) Εὐσέβιος α΄. 33) Σίλβεστρος κη΄. 34) Λιβέριος ς΄. 35) Δάμασος κθ΄. 36) Δεσιρίκιος ιε΄. 37) Ἀναστάσιος γ΄. 38) Ἰννοκέντιος ιε΄. 39) Βονιφάτιος δ΄. 40) Ζώσιμος η΄. 41) Κελεστῖνος ι΄. 42) Ξύστος η΄. 43) Λέων κε΄. 44) Ἱλάριος ς΄ 45) Σιμβλίκιος ιδ΄. 46) Φίλιξ θ΄. 47) Γελάσιος ε΄. 48) Ἀναστάσιος β΄. 49) Σύμμαχος ιδ΄. 50) Ὁρμίσδας ι΄. 51) Ἰωάννης γ΄. 52) Φίλιξ δ΄. 53) Βονιφάτιος β΄. 54) Ἰωάννης ς΄. 55) Ἀγαπητὸς α΄. 56) Σιλβέριος α΄. 57) Βιγίλιος ιη΄. 58) Πελάγιος ε΄. 59) Ἰωάννης ς΄. 60) Βενέδικτος ζ΄. 61) Πελάγιος γ΄. 62) Γρηγόριος ι΄. 63) Σαβιανὸς η΄. 64) Βονιφάτιος γ΄. 65) Ὀνώριος θ΄.

Περὶ Πατριαρχῶν Ἱεροσολύμων

(Κατάλογος)

1) Ἰάκωβος ὁ ἀδελφόθεος Ἐπίσκοπος ἔτη κη΄. 2) Συμεὼν ὁ τοῦ Κλωπᾶ κς΄. 3) Ἰούδας ὁ δίκαιος ζ΄. 4) Ζακχαῖος θ΄. 5) Τωβίας ε΄. 6) Βενιαμὶν γ΄. 7) Ἰωάννης δ΄. 8) Ματθίας δ΄. 9) Φίλιππος δ΄. 10) Σένθυος α΄. 11) Ἰοῦστος ε΄. 12) Λευΐς ε΄. 13) Ἐφρῆς δ΄. 14) Ἰωσὴφ γ΄. 15) Ἰούδας δ΄. Οὗτοι πάντες ἐκ περιτομῆς.

16) Μάρκος η΄. 17) Πλουτίσιος ε΄. 18) Κασιανὸς ε΄. 19) Μάξιμος η΄. 20) Ἰουλιανὸς δ΄. 21) Γάϊος γ΄. 22) Σύμμαχος γ΄. 23) Ἰουλιανὸς δ΄. 24) Καπῖτος δ΄. 25) Μάξιμος δ΄. 26) Ἀντώνιος ε΄. 27) Οὐάλης γ΄. 28) Δολιχιανὸς γ΄. 29) Νάρκισσος δ΄. 30) Δῖος η΄. 31) Γερμάνιος ζ΄. 32) Γόρδιος ε΄. 33) Ἀλέξανδρος ιη΄. 34) Φλάβιος ιε΄. 35) Ὑμένεος ιγ΄. 36) Ζάβδας ι΄. 37) Ἑρμῶν θ΄. 38) Μακάριος κ΄. 39) Μαξιμῖνος ς΄. 40) Κύριλλος ιε΄. 41) Ἡράκλειος ς΄. 42) Ἑλλάδιος ιβ΄. 43) Κύριλλος λε΄. 44) Ἰωάννης ς΄. 45) Πραΐλιος κ΄. 46) Ἰουβενάλιος λη΄. 47) Ἀναστάσιος ιη΄. 48) Μαρτύριος η΄. 49) Σκλούστιος κ΄. 50) Ἠλίας κγ΄. 51) Ἰωάννης ια΄. 52) Πέτρος κ΄. 53) Μακάριος δ΄. 54) Ἡσύχιος α΄. 55) Μᾶρκος δ΄. 56) Ἰωάννης κ΄. 57) Ἀμὼς η΄. 58) Ἰσάκιος κη΄. 59) Ζαχαρίας κδ΄. 60) Μόδεστος α΄.

Περὶ Πατριαρχῶν Ἀλεξανδρείας

(Κατάλογος)

1) Μάρκος ὁ Εὐαγγελιστὴς Ἐπίσκοπος ἔτη δ΄. 2) Ἀνίανος κδ΄. 3) Αἰμίλιος ιγ΄. 4) Κέρδων α΄. 5) Πρῖμος ιδ΄. 6) Ἰοῦστος ια΄. 7) Εὐμενὴς ιγ΄. 8) Μάρκος ι΄. 9) Κελαδίων ιδ΄. 10) Ἀγριππῖνος ιδ΄. 11) Ἰουλιανὸς ι΄. 12) Δημήτριος μγ΄. 13) Ἡράκλειος ιζ΄. 14) Διονύσιος ιζ΄. 15) Μάξιμος ιη΄. 16) Θεωνᾶς ιθ΄ 17) Πέτρος ὁ μάρτυς ι΄. 18) Ἀχιλλᾶς α΄. 19) Ἀλέξανδρος ιζ΄. 20) Ἀθανάσιος μς΄. 21) Τιμόθεος ε΄. 22) Θεόφιλος κη΄. 23) Κύριλλος λδ΄. 24) Διόσκορος ζ΄. 25) Προτέριος ς΄. 26) Τιμόθεος γ΄. 27) Πέτρος ζ΄ καὶ ἐξεβλήθη. 28) Ἰωάννης η΄. 29) Ἀθανάσιος ζ΄. 30) Ἰωάννης ια΄. 31) Διόσκορος γ΄. 32) Τιμόθεος ιζ΄. 33) Γαϊανὸς α΄. 34) Θεοδόσιος δ΄. 35) Παῦλος δ΄. 36) Ζώϊλος ζ΄. 37) Ἀπολινάριος ιθ΄, 38) Ἰωάννης ια΄. 39) Εὐλόγιος ιζ΄. 40) Θεόδωρος ε΄. 41) Ἰωάννης ι΄. 42) Γεώργιος θ΄. 43) Κύριλλος ι΄. 44) Πέτρος η΄.

Περὶ Πατριαρχῶν Ἀντιοχείας

(Κατάλογος)

1) Πέτρος Ἐπίσκοπος ἔτη δ΄. καὶ μετῆλθεν ἐν Ρώμῃ δ΄. 2) Εὔοδος κζ΄. ὃς καὶ πρῶτος ὠνόμασε τοὺς Ἀντιοχεῖς Χριστιανούς. Πρώην γὰρ Ναζωραῖοι καὶ Γαλιλαῖοι ἐκαλοῦντο πάντες οἱ Χριστιανοί. 3) Ἰγνάτιος ὁ θεοφόρος λδ΄. 4) Ἥρων κ΄. 5) Κορνήλιος ιδ΄. 6) Ἐρὼ κς΄. 7) Θεόφιλος κδ΄. 8) Μάξιμος ιδ΄.) 9) Σεραπίων κε΄. 10) Ἀσκληπιάδης θ΄. 11) Φιλητὸς ι΄. 12) Ζαμῖνος δ΄. 13) Βαβύλας ὁ μάρτυς γ΄. 14) Φάβιος θ΄. 15) Δημήτριος δ΄. 16) Παῦλος ὁ Σαμοσατεὺς η΄. 17) Τιμαῖος γ΄. 18) Κύριλλος ιε΄. 19) Τύρανος ιγ΄. 20) Βιτάλιος ς΄. 21) Φιλόγονος ε΄. 22) Εὐστάθιος η΄. 23) Παυλῖνος ε΄. 24) Εὐσέβιος δ΄. 25) Εὐλάλιος ιγ΄. 26) Εὐφρόνιος η΄. 27) Φλάκιτος ιδ΄. 28) Στέφανος δ΄. 29) Λεόντιος η΄. 30) Εὐδόξιος κ΄. καὶ ἐξεβλήθη καὶ μετέβη. 31) Ἀνίανος γ΄. 32) Μελέτιος κε΄. ἐν Κωνσταντινουπόλει. 33) Φλαβιανὸς κδ΄. 34) Ἰωάννης η΄. 35) Δόμνος η΄. 36) Μάξιμος δ΄. 37) Ἀκάκιος δ΄. 38) Μαρτύριος ιγ΄. 39) Ἰουλιανὸς ε΄. 40) Πέτρος ὁ γναφεὺς δ΄ καὶ ἐξεβλήθη. 41) Στέφανος γ΄. 42) Παλλάδιος ι΄. 43) Στέφανος α΄. 44) Καλανδίων Νεστοριανὸς δ΄. καὶ ἐξεβλήθη, 45) Φλαβιανὸς ιδ΄. 46) Σεβῆρος ὀλίγον καὶ ἔφυγε. 47) Παῦλος δ΄. καὶ ἐξεβλήθη. 48) Εὐφράσιος ε΄. 49) Ἐφραίμιος ιη΄. 50) Ἀναστάσιος ια΄. 51) Γρηγόριος κ΄. 52) Ἀναστάσιος ὁ Σιναΐτης δ΄.

Περὶ Πατριαρχῶν Κων]πόλεως

(1) Κατάλογος (*)

1) Ἄσταχυς (Στάχυς) ὁ ἐκ τῶν ἑβδομήκοντα, ὃν ἐχειροτόνησεν Ἀνδρέας ὁ Ἀπόστολος ἐν Ἀργυρουπόλει τῆς Θράκης, Ἐπίσκοπος ἔτη ις΄. 2) Ὀνήσιμος ὁ οἰκέτης ιδ΄. 3) Πολύκαρπος ιη΄. 4) Πλούταρχος ις΄. 5) Σεδεκίων θ΄. 6) Διογένης ιε΄. 7) Ἐλευθέριος ζ΄. 8) Φίλιξ ε΄. 9) Πολύκαρπος ιζ΄. 10) Ἀθηνόδωρος δ΄. 11) Εὐζώϊος ς΄. 12) Λαυρέντιος ια΄. 13) Ἀλύπιος ιγ΄. 14) Περτίναξ ιθ΄. 15) Ὀλυμπιανὸς ιθ΄. 16) Μάρκος ιγ΄. 17) Κυριλλιανὸς ιε΄. 18) Καστῖνος ζ΄. 19) Τῖτος λε΄. 20) Δομέτιος κδ΄. 21) Πρόβος ιβ΄. 22) Μητροφάνης ι΄. ἐφ' οὗ

(*) Ὁ βουλόμενος παραβαλέτω τὸν παρόντα Κατάλογον πρὸς τοὺς Πατριαρχικοὺς Πίνακας τοῦ Μ. Γεδεὼν διὰ νὰ ἴδῃ οἵαι σημαντικαὶ διαφοραὶ ὑπάρχουσι.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ὁ Μέγας Κωνσταντῖνος ἐβασίλευεν. 23) Ἀλέξανδρος κγ΄. 24) Παῦλος ὁ ὁμολογητὴς ς΄. καὶ ἐξεβλήθη. 25) Εὐσέβιος Νικομηδείας β΄. καὶ ἐξεβλήθη. 26) Μακεδόνιος ὁ Πνευματομάχος ι΄. καὶ ἐξεβλήθη. 27) Εὐδόξιος ι΄. 28) Δημόφιλος η΄. 29) Εὐάγριος καὶ εὐθὺς ἐξεβλήθη. 30) Γρηγόριος ὁ Θεολόγος προέστη τῆς Ἐκκλησίας Κων)πόλεως ἔτη ιϐ΄. 31) Νεκτάριος ιζ΄. 32) Ἰωάννης ὁ Χρυσόστομος ἔτη ε΄. καὶ μῆνας ἕξ καὶ ἐξεβλήθη. 33) Ἀρσάκιος ι΄. 34) Ἀττικὸς κ΄. 35) Σισίνιος β΄. 36) Νεστόριος μῆνας ϐ΄ καὶ ἐξεβλήθη. 37) Μαξιμιανὸς β΄. 38) Πρόκλος ια΄. 39)Φλαβιανὸς ἡμέρας η΄. 40) Γεννάδιος ιγ΄. 41) Ἀκάκιος ιζ΄. 42) Φραΐτας μῆνας γ΄. 43) Εὐφήμιος ς΄. 44) Μακεδόνιος ς΄. 45) Τιμόθεος ς΄καὶ ἐξεβλήθη. 46)Ἰωάννης ϐ΄.47)Ἐπιφάνιος ς΄. 48) Ἄνθιμος α΄. 49)Μηνᾶς ις΄. 50) Εὐτυχὴς ιϐ΄. καὶ ἐξεβλήθη. 51) Ἰωάννης ιϐ΄. 52) Εὐτυχὴς Παῦλος δ΄. (ἴσως εὐτυχὴς πάλιν, δηλ. τὸ δεύτερον). 53) Κυριακὸς ια΄. 54) Ἰωάννης ιγ΄. 55) Θωμᾶς γ΄. 56) Σέργιος κη΄. 57) Πῦρος ϐ΄ καὶ ἐξεβλήθη. 58) Παῦλος ϐ΄. 59) Πῦρος Παῦλος γ΄. Πῦρος πάλιν, δηλ. τὸ ϐ΄.) 60) Πέτρος . 61) Θωμᾶς ϐ΄. 62) Ἰωάννης δ΄. 63) Κωνσταντῖνος η΄. 64) Θεόδωρος ϐ΄. καὶ ἐξεβλήθη. 65) Γεώργιος τρεῖς (μῆνας νοητέον) καὶ ἐξεβλήθη. 66) Θεόδωρος Παῦλος (πάλιν) ϐ΄. 67) Παῦλος ς΄. καὶ ἐξεβλήθη. 68) Καλλίνικος ιϐ΄. καὶ ἐξεβλήθη. 69) Κῦρος ς΄. καὶ ἐξεβλήθη. 70) Ἰωάννης δ΄. 71) Γερμανὸς ιε΄. καὶ ἐξεβλήθη. 72) Ἀναστάσιος κδ΄. 73)Κωνσταντῖνος ιϐ΄. καὶ ἐξεβλήθη. 74) Θεόδοτος ε΄. 75) Νικήτας ιγ΄. 76) Παῦλος ὁ Κύπριος δ΄. 77) Ταράσιος κα΄. 78) Νικηφόρος θ΄. καὶ ἐξεβλήθη. 79) Ἀντώνιος ιε΄. 80) Ἰωάννης ς΄. καὶ ἐξεβλήθη. 81) Μεθόδιος δ΄. 82) Ἰγνάτιος ια΄. 83) Φώτιος θ΄. καὶ ἐξεβλήθη. 84) Ἰγνάτιος Παῦλος (πάλιν) ι΄· καὶ ἐξεβλήθη. 85) Φώτιος πάλιν.

Περὶ Βασιλέων τῶν Ἰουδαίων

(Κατάλογος)

1) Σαοὺλ ἐβασίλευσε τοῦ Ἰσραὴλ ἐκ φυλῆς Βενιαμὶν ἔτη μ΄. 2) Δαβὶδ πρῶτος ἐκ φυλῆς Ἰούδα μ΄. 3) Σολομὼν υἱὸς αὐτοῦ μ΄. 4) Ροβοὰμ υἱὸς αὐτοῦ ιζ΄. 5) Ἀβία υἱὸς αὐτοῦ ς΄. 6) Ἀσὰ υἱὸς αὐτοῦ μα΄. 7) Ἰωσαφὰτ υἱὸς αὐτοῦ κε΄. 8) Ἰωρὰμ υἱὸς αὐτοῦ η΄. 9) Ὀχοζίας υἱὸς αὐτοῦ α΄. 10) Γοθολία μήτηρ αὐτοῦ ζ΄. 11) Ἰωὰς υἱὸς αὐτοῦ μ΄. 12) Ἀμασίας υἱὸς αὐτοῦ κθ΄. 13) Ὀζίας υἱὸς αὐτοῦ νβ΄. 14) Ἰωάθαν υἱὸς αὐτοῦ ς΄. 15) Ἄχαζ υἱὸς αὐτοῦ ις΄. 16) Ἐζεκίας υἱὸς αὐτοῦ κθ΄. 17) Μανασσῆς υἱὸς αὐτοῦ νε΄. 18) Ἀμὼς υἱὸς αὐτοῦ β΄. 19) Ἰωσίας υἱὸς αὐτοῦ λα΄. 20) Ἰωάχαζ υἱὸς αὐτοῦ μῆνας γ΄. 21) Ἐλιακεὶμ υἱὸς αὐτοῦ ια΄. 22) Ἰεχονίας υἱὸς αὐτοῦ γ΄. 23) Σεδεκίας υἱὸς Ἰωσίου ια΄. Ἕως τούτου ἡ βασιλεία γέγονε τοῦ Ἰούδα καὶ κατελύθη.

Οἱ δὲ μετὰ τὴν διαίρεσιν τῶν δέκα σκήπτρων μερισθέντες εἰσὶν οὗτοι: 24) Ροβοὰμ υἱὸς Ναβὰτ κϐ΄. 25) Ναβὰτ υἱὸς αὐτοῦ β΄. 26) Βασα κδ΄. 27) Ἰλαὰν υἱὸς αὐτοῦ δ΄. 28) Ζαμβρὴ ιϐ΄. 29) Ἀχαὰϐ υἱὸς αὐτοῦ κϐ΄. 30) Ὀχοζίας υἱὸς αὐτοῦ δ΄. 31) Ἰωρὰμ υἱὸς αὐτοῦ δ΄. 32) Ἰοὺ κη΄. 33) Ἰωάχαζ υἱὸς αὐτοῦ ιζ΄. 34) Ἰὼας υἱὸς αὐτοῦ ις΄. 35) Ἱεροβοὰμ υἱὸς αὐτοῦ λα΄. 36) Ζαχαρίας υἱὸς αὐτοῦ μῆνας ς΄. 37) Σελοὺϐ μῆνα α΄. 38) Μαναεὶμ ι΄. 39) Φακαίας υἱὸς αὐτοῦ δ΄. 40) Φακεὲ κ΄. 41) Ὡσηὲ θ΄.

Ἑωστούτου γέγονεν ἡ βασιλεία τῶν δέκα σκήπτρων τοῦ Ἰσραὴλ καὶ τῆς Σαμαρείας. Καὶ γὰρ καὶ ἡ πόλις ἑάλω καὶ πάντες ἀπήχθησαν αἰχμάλωτοι εἰς Βαβυλῶνα. Οἱ δὲ γενόμενοι Προφῆται ἐν ταῖς ἡμέραις τῶν βασιλέων εἰσὶν οὗτοι: Ἐπὶ μὲν Σαούλ, Δαυΐδ, Σαμουήλ· ἐπὶ δὲ Δαβίδ, Γάδ, Νάθαν, Ἀσάφ. Ἐπὶ δὲ Σολομῶντος καὶ τῶν μετ' αὐτόν, Ἀχίας ὁ Σιλωνίτης, Ἀμαίας ὁ Ἀδδώ. Ἐπὶ δὲ Ἰωσαφὰτ καὶ τῶν μετ' αὐτόν, Μιχαίας, Ἠλίας, Ἐλισσαῖος, Ἀβδιού, Ἰηοῦ Ὀζιήλ, Ἐλεάζαρ, Ἀζαρίας. Ἐπὶ δὲ Ὀζίου καὶ τῶν μετ' αὐτόν Ἱερεμίας, Σοφονίας, Ὀλδά, Βαρούχ. Ἐπὶ δὲ Σεδεκίου πάλιν Ἱερεμίας καὶ Ἀββακούμ. Μετὰ δὲ τὴν αἰχμαλωσίαν ἐπὶ υἱοῦ τοῦ Ἰωσεδὲκ τοῦ Ἱερέως προφητεύουσιν Ἀγγαῖος καὶ Ζαχαρίας, τελευταῖοι Προφῆται γενόμενοι. Δανιὴλ γὰρ καὶ Ἰεζεκιὴλ ἐν τῇ αἰχμαλωσίᾳ προεφήτευσαν ἐν Βαβυλῶνι.

Ἐκ τοῦ μεμβράνου κώδικος Γ 115 αἰῶνος ιγ΄. τῆς Λαυριωτικῆς Βιβλιοθήκης.

Γ. Παντελεήμων Λαυριώτης

ΙΑΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΤΗΣ ΕΝ ΑΘΩ ΙΕΡΑΣ ΜΟΝΗΣ ΜΕΓΙΣΤΗΣ ΛΑΥΡΑΣ

ΠΕΡΙ ΑΛΩΠΕΚΙΑΣ

(Συνέχεια ἐκ τῆς σελίδος 174)

Ἑρμηνεία ἑτέρα.

Εἶναι χρεία ὅταν κάμῃς δυνατὰ φάρμακα εἰς αὐτὴν τὴν ἀρρώστεια, νὰ τὰ μαλακένῃς μὲ ἄλειμμα ἢ κηρὸν ἢ μὲ ἄλλα θερμὰ λάδια καὶ ἀλείμματα ὡς τὸ λάδι τοῦ πενταδακτύλου, ἢ τὸ λάδι τοῦ λύχνου, ἢ μὲ λάδι δάφνης διὰ νὰ ὀλιγαίνῃς τὴν δριμύτητα ἐκείνου τοῦ φαρμάκου νὰ μὴ τραυματίσῃ τὸ δέρμα τῆς κεφαλῆς.

Αὐτὰ δὲ τὰ εἴδη ὅπου ἰατρεύουν τὴν ἀλωπεκίαν, ὠφελοῦσι καὶ εἰς τὸ γένειον ὅπου ἀργεῖ νὰ φυτρώσῃ· νὰ κάμῃς σύνθεσιν ἀπὸ ὅλα νὰ ἀλείφῃς, εἶναι ταχινὴ ὠφέλεια. Ἕκαμα αὐτὴν τὴν σύνθεσιν εἰς ἄνθρωπον, ὅπου εἶχεν ἀλωπεκίαν καὶ ἦτο ἄτριχος ἡ κεφαλή του παντελῶς καὶ εἰς ὀλίγον ἔγινε καλά. Ἐδοκίμασα αὐτὴν καὶ εἰς ἄλλον καὶ ηὐχαριστήθην.

Λάβε σὺν Θεῷ εὐφόρβιον (= γαλαξίδα, φλόμος) καὶ ἀλκιόνιον καὶ κόπρον περιστερᾶς ἀπὸ στάγια καὶ ἐλλέβορον ἄσπρον, σπέρμα ἀγριοπηγάνου, ξώφλοια καμμένα λεπτοκαρύων, στώχος κάτικον, καρδαμόσπορον ἀπὸ στάγγι μισόν· τρίψον ὅλα καλῶς καὶ ἀνάμειξέ τα μὲ ἔψημα ἢ μὲ δαφνέλαιον, ἢ τοῦ πενταφύλλου καὶ χρίσε τὸν τόπον, καὶ ἄφησε νὰ κάμῃ μίαν νύκτα, καὶ τὴν ἄλλην πλύνε μὲ τὸν χυλὸν τοῦ τεύτλου ἢ μὲ τὸ ἔψηματοῦ κιναμώμου κυάμου· καὶ κάμε το πολλάκις, ἐπειδὴ εἶναι ὠφέλιμον καὶ δοκιμασμένον.

Εἶναι καὶ ἄλλαι ἀφορμαὶ ὅπου πίπτουσιν αἱ τρίχες· ἕνα μὲν ἀπὸ τὴν ὀλίγην τροφήν, ὅταν δὲν ἀποσώζεται ἡ τροφὴ εἰς τὰς τρίχας, διότι ἀπ' αὐτὴν τελειώνεται ἡ τρίχα καὶ βλαστάνει· ἄλλο δὲ καὶ ἀπὸ τὴν καῦσιν τῶν χυμῶν τοῦ ἀνθρώπου· καθὼς συμβαίνει εἰς τοὺς ἐλεφαντιῶντας (= λεπρούς,) καὶ εἰς ἐκείνους ὅπου μακρονοσοῦσι, γίνεται δὲ πάλιν καὶ ἀπὸ τὴν πυκνότητα τοῦ δέρματος ἢ ἀπὸ τὴν ἀραιότητα. Καὶ ἐὰν μὲν εἶναι ἡ πτῶσις ἀπὸ τὴν στέρησιν τῶν τροφῶν, προστάσωμεν νὰ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἐμβαίνει συχνὰ εἰς τὰ λουτρά, καὶ νὰ τρέφεται καλῶς ἀπὸ τὰς τροφὰς, ὅπου λεπταίνουν τὸ πάθος τοῦ κακοῦ χυμοῦ ὅπου περισσεύει εἰς τὸν ἄνθρωπον· καὶ νὰ φεύγῃ τὸ ἁλμυρὰ τῶν φαγητῶν, καὶ νὰ ἀλείφεται ἀλειφὰς ὅπου σύρνουοιν αἷμα ὠφέλιμον εἰς τὰς ρίζας τῶν τριχῶν. Εἶναι καὶ εὔκολες ἀλειφὲς νὰ ἀναβλαστήσουν αἱ τρίχες, ὡς τὸ λαύδανον καὶ τὸ κρινόλαδον. Εἰ δὲ καὶ εἶναι ἀπὸ τὴν πύκνωσιν τοῦ δέρματος, νὰ ἀλείφεται φάρμακα ὁποῦ ἀρεώνουν τοὺς πόρους, ὥσὰν τὰ πικρὰ ἀμύγδαλα τὰ καμμένα, ἢ τὸ ἀβρότονον, τὸ ἀρμενικόν, καὶ τὸ ῥαφανόλαδον, ἢ τῆς δάφνης ἢ τὸ χαμαίμηλον καὶ τὰ ὅμοια. Εἰ δὲ καὶ εἶνε ἡ πτῶσις τῶν τριχῶν ἀπὸ τὴν ἀραιότητα τοῦ σώματος τοῦ δέρματος καὶ ἀπὸ τὴν ἀδυναμίαν τῶν πόρων, εἶνε χρεία ν' ἀλείφωμεν ἀλειφὰς ποὺ στύφουσι, τὸ μυρσινόλαδον, τὸ ῥοδέλαιον, τὸ ὀμφανόλαδον, ἢ λάβε φύλλα τῆς ἐλαίας καμμένα καὶ τριμμένα καὶ ζύμωσον τὸ ὕδωρ τῶν ἐλαίων καὶ μάλαξέ το μὲ ῥοδέλαιον καὶ χρίσον τὴν κεφαλὴν πυκνά. Ἔπαρε καὶ φύλλα μυρσύνης καμμένα καὶ ἀνάμιξέ τα μὲ ῥοδέλαιον καὶ ἄλειφε ὅτι τοῦτο γοργὰ φυτρώνει τὰς τρίχας. Ὁ δὲ Διοσκορίδης λέγει, ὅτι ἐὰν πλυθῇ ἡ κεφαλὴ μὲ τὸ ἀπόζεμα τῆς μυρσίνης, μελαίνει τὰς τρίχας καὶ σφίγγει καὶ δυναμώνει αὐτὰς καὶ ὠφελεῖ καὶ τὰ τραύματα τὰ ὑγρὰ τῆς πιτυρίδας. Ἐκεῖνα ὅπου φυτρώνουσι τὰς τρίχας καὶ τὰς μαραίνουν, εἶνε ταῦτα.

Λάβε τὰ φύλλα τῆς ἰτέας, ἢ τὰ φύλλα τῆς καπάρεως καὶ καύσετα καὶ μάλαξον μὲ τὸ μυρσυνόλαδον καὶ ἄλειφε τὴν κεφαλήν.

Ἡ κύμινον αἰθιοπικὸν καμμένον καὶ τριμμένον μάλαξον μὲ νερὸν καὶ ἄλειφε τὸν τόπον, ἢ ἔπαρε λινόσπερμα ἢ τὰ κλωνάρια τοῦ αὐτοῦ λιναρίου χλωρά, καὶ καύσετα καὶ μάλαξον μὲ σισιμόλαδον καὶ ἄλειφε. Ἡ ὡσὰν καύσῃς τὰ φύλλα τῆς ἰτέας ἢ τῆς καπάρεως, ἀνάμιξε μὲ γάλα γυναικὸς καὶ ἄλειφε τὸν τόπον ὅπου πίπτουσιν αἱ τρίχες. Μετὰ ταῦτα ἔπαρον τὴν στάκτην τῆς ῥίζης τοῦ καλάμου, καὶ ζύμωσον μετὰ μυρσυνελαίου καὶ ἄλειψον τὴν κεφαλὴν καὶ τὸν πώγωνα. Ἐποίησε δὲ καὶ Ἰωάννης ὁ Δαμασκηνός σύνθεσιν διὰ τὴν ἀδυναμίαν τῶν τριχῶν καὶ τῶν ῥιζῶν αὐτῶν οὕτως· α' λάβε τὰ ξώφλοια τῶν λεπτοκαρύων κεκαυμένα δράμια ἕνα καὶ μισὸ, β' στύψι· φύλλα καλάμουκεκαυμένα ἀπὸ γνωστον, γ' ἀψίνθιον κηκίδιον ἀπὸ στίγμ. α'. μερσινόκου καὶ τρίψον ὅλα καλῶς καὶ βάλε δύο δράμια μυρσινόλαδον καὶ ψήσετα καλῶς, καὶ βάλετα εἰς ὑάλινον ἀγγεῖον, καὶ ἄλειφε μὲ ταύτην τὸν τόπον ὅπου ἔπεσαν αἱ τρίχες καὶ θεραπεύει κατὰ πολλά, Θεοῦ θέλοντος, διότι ἐδοκίμασα αὐτὴν καὶ εὐχαριστήθην, εἶνε δὲ καὶ ἄλλα πολλὰ ὅπου ἔχουσιν αὐτὴν τὴν ὠφέλειαν.

Ἔπαρον λαύδανον, ἀψίνθιον, κοκκία φοινίκων κεκαμμένα καὶ νὰ εἶνε ὅλα ὁμόζυγα καὶ βάλετα εἰς πανὶ λινὸν καὶ βάλετο εἰς γιαλὶ μὲ λάδι, καὶ ἄφες το νὰ κάμῃ καιρὸν ὀλίγον, εἶτα ἄλειφε τὴν κεφαλὴν καὶ τὸν πώγωνα, καὶ δυναμώνει τὰς ῥίζας τῶν τριχῶν καὶ στερεώνει αὐτάς. Ἢ ἔπαρον τὸν φλοιὸν τῆς συκαμινέας καὶ τὰ φοινικόκουκκα καὶ καύσετα νὰ εἶνε ἰσόζυγα καὶ μάλαξέ τα μὲ νερὸ καὶ χρίε τὸ τόπον διότι τὰ ἐδοκίμασα.

Σπυρίδων Λαυριώτης († 1940)
Ἰατρὸς

ΑΚΟΛΟΥΘΙΑ
ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ
ΜΙΧΑΗΛ ΤΟΥ ΜΑΛΕΪΝΟΥ
ΕΟΡΤΑΖΟΜΕΝΟΥ ΤΗι ΙΒ'. ΙΟΥΛΙΟΥ

Ἀντιγραφεῖσα ἐκ τοῦ μεμβρανίνου Κώδικος Δ 39 τοῦ ιβ'. αἰῶνος καὶ ἀποσταλεῖσα πρὸς ἔκδοσιν τύποις παρὰ τοῦ Γέροντος Παντελεήμονος Λαυριώτου μοναχοῦ.

ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸν προοιμιακόν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους ς'. καὶ ψάλλομεν στιχηρὰ προσόμοια

Ἦχος πλ. α'. Ὅσιε Πάτερ

Ὅσιε πάτερ, ἐκ νεότητος ἰσάγγελον, ἠσπάσω πολιτείαν, καὶ τὰ τοῦ κόσμου τερπνά, ὡς κόνιν ἐλογίσω καὶ ὡσεὶ χόρτον, δόξαν τὴν πρόσκαιρον φυγών, δόξης τῆς ἐνθέου μὴ ἐπιλελησμένος· ἧς μετέσχες ἀπολιπών, τὸ δεσμωτήριον κάτω τὸ τῆς σαρκός, καὶ παριστάμενος φωτὶ τῷ τρισηλίῳ, παμμακάριστε Μιχαὴλ Χριστοῦ θεράπων, αὐτὸν ἱκέτευε, αὐτὸν δυσώπει πάντοτε, δωρηθῆναι τῇ οἰκουμένῃ, ὁμόνοιαν εἰρήνην καὶ μέγα ἔλεος.

Ὅσιε πάτερ, ὁ πυρσὸς τῆς κατανύξεως, ὁ λύχνος τῶν ἐν σκότει τῆς ἀπογνώσεως, ὁ ἄδυτος φωσφόρος τῆς μετανοίας, ἄνθραξ ὑπέρτιμος ὁ τῶν ἀρετῶν, θεῖος μαργαρίτης τῆς ἐλεημοσύνης, λαμπτὴρ ὁ μέγας τῶν προσευχῶν, τῶν ὀρφανῶν προστάτης καὶ τῶν χειρῶν, ὁ ἐννομώτατος κανὼν τῆς Ἐκκλησίας, ὦ παμμακάριστε Μιχαὴλ θεοφόρε, Χριστὸν ἱκέτευε, Χριστὸν δυσώπει Ὅσιε, δωρηθῆναι τῇ Ἐκκλησίᾳ, ὁμόνοιαν εἰρήνην καὶ μέγα ἔλεος.

Ὅσιε πάτερ, ἡγιάσθης πρὸ γεννήσεως, ὥσπερ Ἱερεμίας ὁ ἱερώτατος, τῇ σὲ γὰρ κυησάσῃ ἡ τοῦ Κυρίου, Μήτηρ προείρηκέ σε δοῦναι καρπόν, ὃν δοτὸν γενέσθαι αὐτῇ ἀπὸ σπαργάνων, καὶ προηγόρευσεν ἐμφανῶς, καὶ ὑπεδέξατο αὖθις γνώμῃ ὀρθῇ, βίου τὸν τάραχον Μιχαὴλ φυγόντα, καὶ τὸν ἡσύχιον δρόμον ἠγαπηκότα, ὃν καὶ διήνυσας, ὡς ψάμμον τὰ συστήματα μονοτρόπων καταφυτεύσας, διεξόδους ὑδάτων τοῦ θείου Πνεύματος.

Ἕτερα προσόμοια.

Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι

Ὅλον ἀποθέμενος, τῷ ποιητῇ καὶ Δεσπότῃ, σαυτὸν ἐκ νεότητος, Μιχαὴλ γῆς ἅπασαν τὴν προσπάθειαν, εὐσταθῶς ἔρριψας, καὶ αὐτῷ Ὅσιε, ἀδιστάκτως ἠκολούθησας, νηστείαις δάκρυσι, προσευχαῖς καὶ πόνοις καὶ θλίψεσι, τὴν σάρκα κατατήκων σου, καὶ καθυποτάττων τῷ πνεύ-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ματι. Ὅθεν ἐν ὑψίστοις, τοῖς ἄνω συγχορεύων λειτουργοῖς, ἀκαταπαύστως δεόμενος, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Γονέων ἠλόγησας, πλούτου καὶ δόξης παμμάκαρ, καὶ μόνον ἐπόθησας, τὸν Χριστὸν ἀοίδιμε καὶ προσέδραμες, αὐτῷ ἐρώμενος, τῆς πατρώας φεύγων, Ἀβραὰμ οἷά τις δεύτερος, καὶ καθιέρωσας, σῶμα καὶ ψυχὴν καὶ διάνοιαν, ἐκ πάσης προσπαθείας τε, καὶ βιωτικῆς μάκαρ σχέσεως, καὶ πρὸς τὸν Δεσπότην, ἰθύνων ἀσφαλῶς σου τὰς ὁδούς, ὦ Μιχαὴλ προσεπέλασας, πάντα παρωσάμενος.

Μωσῆς ὥσπερ δεύτερος, ἐκ σκοταγωγες, καὶ Θεῷ πανεύφημε προσενήνοχας, τοὺς ἐν ζόφῳ μένοντας, ἁμαρτίας πάλαι, ὁδηγήσας πρὸς μετάνοιαν, καὶ καθυπέδειξας, τούτοις τὴν ὁδὸν τὴν σωτήριον, δαιμόνων ἐπηρείας τε, καὶ ἁμαρτιῶν ἐκλυτρούμενος. σοῦ ταῖς νουθεσίαις, ὑπείκοντας καὶ μέλλοντας λαβεῖν, πόνων ἐκεῖ τὴν ἀντίδοσιν, Μιχαὴλ θεσπέσιε.

σμοῦ ἀγνωσίας, λαοὺς ὑπεξήγαγες, καὶ Θεῷ πανεύφημε προσενήνοχας, τοὺς ἐν ζόφῳ μένοντας, ἁμαρτίας πάλαι, ὁδηγήσας πρὸς μετάνοιαν, καὶ καθυπέδειξας, τούτοις τὴν ὁδὸν τὴν σωτήριον, δαιμόνων ἐπηρείας τε, καὶ ἁμαρτιῶν ἐκλυτρούμενος. σοῦ ταῖς νουθεσίαις, ὑπείκοντας καὶ μέλλοντας λαβεῖν, πόνων ἐκεῖ τὴν ἀντίδοσιν, Μιχαὴλ θεσπέσιε.

Δόξα. Ἦχος β΄.

Ὅσιε πάτερ, ἀγγελικὴν ζηλώσας διαγωγήν, κόσμου τὰ τερπνὰ ἐγκατέλειπες· καὶ ἀνδρικῶς τοῖς ἀγῶσι τὸ σῶμα λεπτύνας, πρὸς οὐρανοὺς τὴν ψυχὴν ἀνύψωσας. Ὅθεν τῷ ἀκροτάτῳ τῶν ἐφετῶν προσεπέλασας, τὰς ἀμοιβὰς τῶν καμάτων σου κομίζῃ, ἀμέσως ἐντυγχάνων τῷ ποθουμένῳ σοι, καὶ πρεσβεύων ὑπὲρ ἡμῶν Μιχαὴλ ἀγγελώνυμε, τῶν ἐκ πόθου τελούντων, τὴν ἀεισέβαστον μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου

Ἀναγνώσματα Ὁσιακὰ

ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

Ἰδιόμελα. Ἦχος α΄.

Τὴν σὴν ἰσάγγελον πολιτείαν, καὶ τῶν ἀγώνων σου τὰ κατορθώματα, τίς ἐξειπεῖν δυνήσεται πρεπωδῶς, καὶ ἀνυμνῆσαι ἀξίως; ταῦτα γὰρ καὶ τὴν βροτείαν φύσιν παρήνεγκαν, καὶ τὴν τῶν Ἀγγέλων ἠγάσθησαν, καὶ τὸν Παντοδύναμον Θεόν, τὸν τὸ ἀσθενὲς τῆς φύσεως ἐνδυναμοῦντα, μεγάλως ἤνεσαν καὶ ἐδόξασαν, Μιχαὴλ Πάτερ Ὅσιε. Ἀλλ᾽ οἱ ἐντρυφῶντες τῶν σῶν ἀγαθουργιῶν, ἐκ πόθου πάντες σε μέλπομεν, τὴν σὴν πρεσβείαν αἰτοῦντες, δωρηθῆναι ἡμῖν δι᾽ αὐτῆς, ἄφεσιν πταισμάτων παρὰ Κυρίου, σωτηρίαν τε καὶ μέγα ἔλεος.

Ἦχος β΄.

Ὅσιε πάτερ Μιχαὴλ θεσπέσιε, σὺ ἐκ κοιλίας μητρικῆς, καὶ ἐκ βρεφικῶν σπαργάνων, ἐδείχθης ἐκλελεγμένος, καὶ ὡς καρπὸς θεόσδοτος, τῇ σῇ μητρὶ ἐδόθης παρὰ τῆς τοῦ Κυρίου Μητρός, ὑποσχομένης βοηθῆναί σε ὡς ἡγιασμένον, καὶ βοτόν σε αὖθις κομίσασθαι· ἣ καὶ προσεκομίσθης, διὰ τῆς ἐναρέτου πολιτείας σου, σὺν αὐτῇ ἐν οὐρανοῖς ἀγαλλόμενος, καὶ συμπρεσβεύων ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος γ΄.

Τὰς ἡδονὰς τοῦ κόσμου, καὶ τὴν ματαίαν δόξαν, μεμισηκὼς ἀπὸ ψυχῆς, τὴν τῆς κοσμικῆς ἀξίας ζώνην ἔρριψας, τῶν ἐπὶ γῆς ἀνάκτων προκεκρικὼς τὸν Παντάνακτα· καὶ τῶν γεγεννηκότων τῆς στοργῆς ἀλογήσας, τὸν Πλαστουργήσαντα ἐπόθησας, καὶ τοῦ βίου τοῦ ῥευστοῦ, βίον τὸν ἰσάγγελον, καὶ τῆς κοσμικῆς τερπνότητος, τὴν ἀκήρατον ὄντως τερπνότητα· ἧς νῦν κατατρυφᾷς ἀγαλλόμενος, καὶ δυσωπῶν ὑπὲρ ἡμῶν τὸν μόνον φιλάνθρωπον.

Ἦχος δ΄.

Τὸ πῦρ τῶν πειρασμῶν, καὶ τὴν κάμινον τῶν παθῶν, τοῖς τῶν δακρύων σου ῥεύμασι, καὶ τῇ τοῦ ἁγίου Πνεύματος δαψιλεῖ ψεκάδι, τελείως ἐναπέσβεσας, συντηρηθεὶς ἀκατάφλεκτος· φλεγόμενος δὲ τῷ θείῳ τοῦ Σωτῆρος πόθῳ, τοὺς πολεμίους ἐμάρανας δαίμονας· καὶ νοῦν ἀνυψώσας πρὸς πολιτείαν οὐράνιον, τὸ σαρκίον ἐκούφισας, ἀπορῥαγὲν ὕλης τῶν παθῶν, Μιχαὴλ ἀξιάγαστε. Ὅθεν τῇ Τριάδι ἀδιαστάτως ἐλάτρευσας, Μωϋσέως γὰρ τὸν τρόπον, καὶ Ἠλιοῦ τὸν βίον μιμούμενος, εἶδες τὸν ποθούμενόν σου Κύριον, καὶ Σωτῆρα τῶν ψυχῶν ἡμῶν.

Ἦχος ὁ αὐτὸς

Στύλον σε πυρὸς προηγούμενον, θεοφιλέσι ψυχαῖς πρὸς οὐράνιον ἄνοδον, οἱ πιστοί σε καλοῦμεν, Μιχαὴλ Ὅσιε, καὶ νεφέλην σκιάζουσαν, νοτίσι τῶν πρεσβειῶν σου, καὶ καύσωνα παντοίων παθῶν ἐναπελαύνουσαν. Προσέτι δὲ καὶ ἄγαλμα ἔμψυχον, καὶ σεπτὸν κειμήλιον, καὶ ἱερὸν τοῖς πιστοῖς θησαύρισμα, ἄσμασι θεοπρεπέσι γεραίροντες· ἄμειψαι οὖν οὐρανόθεν, ἐκμειλίσσων τὸν Δεσπότην ἡμῖν, καὶ τὴν τῶν πταισμάτων ἡμῶν τὴν λύσιν πρυτάνευσον, καὶ τὰς ἐναντίας περιστάσεις διακώλυσον, ἵνα ἤρεμον ἐπὶ γῆς βιοῦντες βίον, ἐν εἰρήνῃ τὸν σὲ ἐν δόξῃ καταστέψαντα Χριστὸν μεγαλύνωμεν.

Δόξα. Ἦχος πλ. β΄.

Τὸ γλυκύ σου τοῦ λόγου, καὶ τὸ σεμνόν σου τοῦ ἤθους, ἀγασθεὶς ἐμφρόνως, ὁ τοῦ Ἄθω ἀρχηγέτης, ἀοίδιμος Ἀθανάσιος, προθύμως ἀκόλουθός σοι ἐγένετο· καὶ τῷ σῷ μιμηθεὶς πολιτεύματι, καὶ τοὺς λόγους σου ἐν καρδίᾳ θέμενος, μέγας φωστὴρ μοναζόντων ἀνεδείχθης ὡς ἐξ ἡλίου ἥλιος γνωριζόμενος. Ὅθεν ὡς οἰκεῖοι ἄμφω τῷ Χριστῷ γεγονότες, δι᾽ ὑπερφυῶν καὶ θεαρέστων ἔργων, μὴ διαλείπητε πρεσβεύειν, ὑπὲρ εἰρήνης τοῦ κόσμου καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Ἦχος ὁ αὐτὸς

Θεοτόκε σὺ εἶ ἡ ἄμπελος...

ΑΠΟΣΤΙΧΑ

Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου

Ὥσπερ ἀρνησάμενος σαυτόν, ἐπιπόνῳ Πάτερ ἀσκήσει, καὶ κακουχίᾳ πολλῇ, τὸ σῶμα κατέτηξας καὶ κατεμάρανας, Μιχαὴλ παμμακάριστε, Πατέρων ἀκρότης, ἀσκητῶν εὐπρέπεια καὶ δόξα τῶν Μοναστῶν· οἷς περ συγχορεύων πρεσβεύεις, ὑπὲρ τῶν ἐν πίστει τελούντων, τὸ σὸν ἀξιέραστον μνημόσυνον.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Δένδρον διεξόδους φυτευθέν, ἀρετῆς ὡράθης ἐνθέου, Μιχαὴλ ἔνδοξε, καρποὺς προβαλλόμενον, ἀγαθῶν πράξεων, ἐξ ὧν πᾶς ὁ δρεπόμενος, ἀνώτερος πέλει, ἡδονῶν τοῦ σώματος, πασῶν καὶ σύσκηνος, πάντων τῶν Ἁγίων μεθ᾽ ὧν περ, Χριστῷ παριστάμενος πάτερ, πρέσβευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Ἤρθη τοῦ σοῦ βίου ἐμφανῶς, ἡ δόξα θεσπέσιε Πάτερ, ἕως ἐσχάτου τῆς γῆς, καὶ γὰρ ὥσπερ ἔμψυχον, θησαυρὸν πᾶσι πιστοῖς, ἐξ ἐρήμου παρέδωκας, σῶν ἀγωνισμάτων, Μιχαὴλ πανεύφημε, τὰ κατορθώματα· ὧν περ, ἐντρυφῶντες αἰτοῦμεν, τῆς σῆς κληρουχίας μετόχους, καὶ ἡμᾶς γενέσθαι τοὺς τιμῶντάς σε.

Δόξα. Ἦχος πλ. δ΄.

Μιχαὴλ πατὴρ ἡμῶν Ὅσιε, σὺ τῷ τῆς εὐσεβείας θείῳ φωτί, φωτι-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

σθείς σου τὴν διάνοιαν, τὴν ὁδὸν ἐβάδισες μακάριε, ἀκλινῶς τὴν εἰσάγουσιν, πρὸς τὴν οὐράνιον μακαριότητα· καὶ ἀνδρικῶς νικήσας, πάντα τὰ τοῦ πολεμήτορος μηχανήματα, μεγάλων δωρεῶν ἠξιώθης, ἐν τῇ ἐπικήρῳ ταύτῃ ζωῇ καὶ τῇ ἐπουρανίῳ. Ὅθεν καὶ τοῦ Ἄθωνος ἀρχηγέτου, σοφοῦ Ἀθανασίου, ὁδηγὸς πρὸς ἀρετὴν χρηματίσας, οἰκουμενικὸν φωστῆρα τοῦτον ἀνέδειξας· μεθ' οὗ καὶ νῦν ἐν οὐρανοῖς συναγάλλῃ, καὶ συμπρεσβεύεις ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Δέσποινα πρόσδεξαι

Ἀπολυτίκιον

Ἦχος πλ. α'. Τὸν Συνάναρχον Λόγον.

Τὴν τοῦ κόσμου ἡδύτητα ἀπειπάμενος, εἰς ὁδὸν σωτηρίας πόθῳ προσέδραμες, βίον ἰσάγγελον βιώσας ἄριστα. Ὅθεν ἀλείπτης μοναστῶν, καὶ κυβερνήτης τῶν ψυχῶν, πανάριστος ἀνεδείχθης, Μιχαὴλ ἀοίδιμε Πάτερ, ἡμᾶς λιταῖς σου καὶ νῦν περίσωζε.

Καὶ νῦν. Θεοτοκίον

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α'. στιχολογίαν. Κάθισμα.

Ἦχος α'. Τὸν τάφον σου Σωτήρ.

Ὡς φίλον σε Χριστοῦ, ὡς θεράποντα θεῖον, καὶ θύτην ἱερόν, Μιχαὴλ θεοφόρε, γεραίρομεν ἐν ἄσμασιν, ἱεροῖς ἐν τῇ μνήμῃ σου, ἵνα λάβωμεν, ἁμαρτημάτων τὴν λύσιν, ταῖς πρεσβείαις σου, ταῖς πρὸς Θεὸν εὐπροσδέκτοις, καὶ βίου διόρθωσιν.

Δόξα. Ἕτερον ὅμοιον

Γονέων τὴν στοργήν, καὶ τὴν ῥέουσαν δόξαν, καὶ πλοῦτον τὸν φθαρτόν, καταλείψας ἐμφρόνως, τὸ ὄρος κατέλαβες, τοῦ Κυμινᾶ καὶ ἀνέδειξας, τοῦτο τίμιον, καὶ ἱερὸν τῇ ἐνθέῳ, πολιτείᾳ σου, καὶ ἀνεγείρας θεόφρον, ψυχῶν ἐργαστήρια.

Καὶ νῦν. Θεοτοκίον ὅμοιον

Μητέρα σε Θεοῦ, ἐπιστάμεθα πάντες, Παρθένον ἀληθῶς, καὶ μετὰ τόκον φανεῖσαν, οἱ πόθῳ καταφεύγοντες, πρὸς τὴν σὴν ἀγαθότητα· σὲ γὰρ ἔχομεν, ἁμαρτωλοὶ προστασίαν, σὲ κεκτήμεθα, ἐν πειρασμοῖς σωτηρίαν, τὴν μόνην πανάμωμον.

Μετὰ τὴν β'. Στιχολογίαν. Κάθισμα.

Ἦχος γ'. Τὴν ὡραιότητα.

Ἱδρῶσιν Ὅσιε, τοῖς τῶν ἀγώνων σου, καὶ τῶν δακρύων σου, ῥοαῖς τὸ ἄγονον, τὸ τῆς ἐρήμου καὶ τραχύ, κατήρδευσας θεοφόρε, καὶ κατεγεγύργησας, ἐπικαρπίαν τῶν πόνων σου, εἰς ἑκατοστεύουσαν, προσενέγκας τῷ Κτίσαντι· ὃν ἱκετεύων ἀεὶ μὴ παύσῃ, ὑπὲρ ἡμῶν Μιχαὴλ Πάτερ.

Δόξα. Ἕτερον. ὅμοιον

Τοὺς σοὶ προστρέχοντας, Μιχαὴλ Ὅσιε, καὶ αἰτουμένους σου, τὴν θείαν σύναρσιν, ῥῦσαι ταῖς θείαις σου λιταῖς, κινδύνων ἐπερχομένων, καὶ πταισμάτων ἄφεσιν, καὶ κολάσεως λύτρωσιν, πρὸς Θεοῦ ἐξαίτησαι, παῤῥησίαν ὡς ἔσχηκας, μεγίστην πρὸς αὐτὸν Θεοφόρε, βιώσας ἐπὶ γῆς θεαρέστως.

Καὶ νῦν. Θεοτοκίον ὅμοιον

Σύλληψιν ἄσπορον, καὶ τόκον ἄφθορον, σὺ μόνη ἔσχηκας, ἐκ τοῦ αἰῶνος Ἁγνή, φύσεως πάσης λογικῆς, φανεῖσα τιμιωτέρα, ἅρμα πολυώνυμον, Χερουβὶμ ὑψηλότερον, ὄχημα πυρίμορφον, Σεραφὶμ ἁγιώτερον, διὸ ὡς τοῦ Κυρίου Μητέρα, σὲ ἀνυμνοῦμεν Παρθένε.

Μετὰ τὸν Πολυέλεον. Κάθισμα.

Ἦχος δ'. Ταχὺ προκατάλαβε

Ἀστὴρ ἐξανέτειλας, ἐκ τῆς ἑῴας λαμπρός, καὶ φέγγει πανεύφημε τῆς σῆς ἁγνῆς βιοτῆς, τῆς γῆς ἅπαν

πρόσωπον, ηὐγασας ἐκδιώκων, σκοτασμὸν ἁμαρτίας· ὅθεν καὶ τοὺς σοφούς σου, Μιχαὴλ Πάτερ λόγους, ὡδήγησας πολλοὺς πρὸς βίον ἰσάγγελον.

Δόξα. Ἕτερον, ὅμοιον

Ποθήσας ἐφεύρηκε σὲ ἱερὸν Μιχαήλ, ὡς θεῖον κειμήλιον, ὁ τὰ τοῦ κόσμου μισῶν, κλεινὸς Ἀθανάσιος. Ὅθεν τὰς ἀρετάς σου, ἀνεμάξας ἐδείχθη, ἄριστος ποδηγέτης, μοναζόντων ἐν Ἄθῳ· σὺν αὐτῷ οὖν δυσώπει ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον ὅμοιον

Ἐκαίνισας Ἄχραντε, ἀσπόρῳ σου τοκετῷ, φθαρεῖσαν τοῖς πάθεσι τῶν γηγενῶν τὴν θνητήν, οὐσίαν καὶ ἤγειρας, πάντας ἐκ τοῦ θανάτου, πρὸς ζωὴν ἀφθαρσίας· ὅθεν σε κατὰ χρέος, μακαρίζομεν πάντες, παρθένε δεδοξασμένη ὡς προεφήτευσας.

Οἱ ἀναβαθμοί. Τὸ α'. ἀντίφωνον τοῦ δ'. ἦχου.

Προκείμενον

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Τὸ Πᾶσα πνοή. Εὐαγγέλιον τὸ Ὁσιακόν.

Ὁ Ν'. Δόξα. Ταῖς τοῦ σοῦ Ὁσίου Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Στίχ. Ἐλέησόν με ὁ Θεὸς καὶ τὸ Ἰδιομέλον.

Ἦχος β'.

Χαίρει σήμερον φαιδρῶς, τελοῦσα τὴν σὴν μνήμην, ἡ τοῦ Ἄθωνος Ὄρους Μεγίστη Λαύρα, Μιχαὴλ πανεύφημε. Σὺ γὰρ τοῦ ταύτης δομήτορος, ἄριστος ποδηγέτης ἐδείχθης, καὶ Πατὴρ κατὰ πνεῦμα. Διὸ καὶ ἀμφοτέρους ἡμᾶς, θερμοὺς μεσίτας προβάλλει, πρὸς τὸν φιλάνθρωπον Κύριον, εἰς τὸ φυλάττεσθαι αὐτὴν ἀπόρθητον καὶ ἀβλαβῆ, ἐξ ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν, καὶ σωτηρίας τυχεῖν ἡμᾶς, παρὰ τοῦ Σωτῆρος τῶν ψυχῶν ἡμῶν.

ΟΙ ΚΑΝΟΝΕΣ

Τῆς Θεοτόκου εἷς, οἷον βούλει, καὶ τοῦ ἁγίου οἱ παρόντες δύο εἰς η'.

Κανὼν πρῶτος τοῦ ἁγίου οὗ ἡ ἀκροστιχίς.

Ἄγαλμα τερπνὸν τῶν Μονοτρόπων σέβω.

Ὠδὴ α'. Ἦχος πλ. δ'.

Ἁρματηλάτην Φαραὼ

Ἀκτινοβόλοις ἀστραπαῖς τοῦ Πνεύματος καταλαμπόμενος, καὶ τῇ αὐτοῦ πνεύσει, Μιχαὴλ ὡς ὄργανον, ἔμπνουν ὑπηχούμενος, τῆς ψυχῆς μου τὸν ζόφον, ἀπέλασον καὶ παράσχου μοι, λόγον ἐπαξίως ὑμνῆσαί σε.

Γεγεννηκότων τῆς στοργῆς προέκρινας τὸν Πλαστουργήσαντα, καὶ ῥευστοῦ βίου, βίον τὸν ἰσάγγελον, καὶ κοσμικῆς τερπνότητος, τὴν ἀκήρατον ὄντως, τερπνότητα τοῦ Παντάνακτος, ἧς κατατρυφᾷς ἀγαλλόμενος.

Ἀνατολῆς τῆς τρισηλίου γέγονας, ἀκτὶς ὁλόφωτος, Μιχαὴλ τῷ φέγγει, τὸ τῆς πολιτείας σου, τῆς γῆς ἅπαν τὸ πρόσωπον, καταλάμπων πλουσίως, καὶ ἁμαρτίας σκοτόμαιναν, Πάτερ διαλύων τοῖς λόγοις σου.

Θεοτοκίον

Λαβὶς ἣν εἶδεν Ἡσαΐας Πνεύματι ἄνθρακα φέρουσαν, σὺ τηλαυγῆς ὤφθης, ἄνθρακα θεότητος, Χριστὸν κυοφορήσασα, Παναγία ἀφλέκτως, καὶ ἐν ἀγκάλαις βαστάσασα, νεύματι τὸν πάντα συνέχοντα.

Κανὼν δεύτερος τοῦ ἁγίου

Ἦχος δ'. Ἀνοίξω τὸ στόμα μου

Τὸν νοῦν μου καταύγασον, θείῳ φωτὶ ταῖς πρεσβείαις σου, καὶ χάριν μοι δώρησαι, τοῦ λόγου Ὅσιε, ὅπως μέλψω σου, τὴν μνήμην θεοφόρε· ἐν ὕμνοις γεραίρων σε, Μιχαὴλ ἔνδοξε.

Καρπὸν ἁγιώτατον, καὶ θεοδώρητον γέννημα, σὲ Πάτερ ἐκτήσαν-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

το, διὰ Μητρὸς τοῦ Θεοῦ, οἱ τεκόντες σε, ἄμφω ἐκλιπαροῦντες, τεκμήριον τοῦτό σοι, ἀγνῆς βιώσεως.

Ἀβέβαιον ἄστατον, ἅπαν εἰδὼς παμμακάριστε, τερπνὸν τὸ ὁρώμενον, μόνα ἐπόθησας, τὰ ἀόρατα, θεόφρον καὶ ἐμφρόνως, τὰ ἄνω βασίλεια, κτήσασθαι ἔσπευσας.

Θεοτοκίον

Καμφθεῖσα Πανάχραντε, τῶν τῷ ναῷ προσδραμόντων σοι, συζύγων δεήσεσι, καὶ αἰτουμένων υἱόν, οἷς περ δέδωκας, τὸν Μιχαὴλ τὸν θεῖον, τὸν βίον ἰσάγγελον, ὕστερον ζήσαντα.

Καταβασία. Ἀνοίξω τὸ στόμα μου

Ὠδὴ γ΄. Ὁ στερεώσας κατ' ἀρχὰς

Μεμισηκὼς ἀπὸ ψυχῆς, τῶν ἡδονῶν τὴν πικρίαν, καὶ τὴν κάτω βδελυξάμενος δόξαν, κοσμικῶς ἐθελοντής, ἀξίας ζώνην ἔρριψας, τῶν ἐπὶ γῆς ἀνάκτων, προκεκρικὼς τὸν Παντάνακτα.

Ἀπὸ σπαργάνων ἱερῶς, ἐκ μήτρας ἐκλελεγμένος, ἀνεδείχθης Μιχαὴλ τῇ μητρί σου· ἡ τεκοῦσα τὸν Χριστόν, ὑπέσχετο δοθῆναί σε, καὶ ὡς ἡγιασμένον, δοτόν σε αὔθις κομίσασθαι.

Τῷ μύρῳ σὺ τῷ νοητῷ, ψυχὴν καὶ νοῦν καθαγνίσας, καὶ τὸ σῶμα ἀσιτίᾳ λεπτύνας, εἰσωκίσω τὸν Χριστόν, λαλοῦντα τοῦτον ἔχων ἐν σοί, καὶ ἐμπεριπατοῦντα, καὶ κόσμον εὐωδιάζοντα.

Θεοτοκίον

Ἐν τῇ νηδύϊ σου Ἁγνή, Πατρὸς ὁ σύνθρονος Λόγος, κατοικήσας ἐξ ἁγνῶν σου αἱμάτων, ἐσαρκώθη καὶ τεχθείς, τὴν κτίσιν ἀπεκάθηρε, τῆς εἰδωλομανίας, ῥανίσιν ἰδίου αἵματος.

Ἕτερος. Τοὺς σοὺς ὑμνολόγους.

Θανέντα τὸν ἀνακτὰ ὡς εἶδες, φθαρτὰ ἐλογίσω νουνεχῶς, πάντα τῆς γῆς καὶ ῥέοντα, ὦ Μιχαὴλ ἀοίδιμε· διὸ δραμεῖν κατέσπευσας, πρὸς βιοτὴν τὴν ἰσάγγελον.

Γονέων στοργὴν πλοῦτον καὶ δόξαν, σοφῶς ἀπηρνήσω Μιχαήλ, δραμὼν οἷα ὑπόπτερος, πρὸς ὁδηγὸν σοφώτατον, τὸν Ἰωάννην ἄριστα, πρὸς τοῦτο καταδεδίδαξαι.

Τοῦ σκότους τὰ ἔργα ἀποστέρξας, ἡμέρας ἐγένου καὶ φωτός, τέκνον θεόφρον γνήσιον, καὶ βίου εὐσχημόνως ὁδόν, ὡς ἐν ἡμέρᾳ ἔτεμες, καὶ φῶς πρὸς ἄδυτον ἔσπευσας.

Θεοτοκίον

Τὴν σὴν ἀπὸ βρέφους προστασίαν, αἰτούμενος ἄχραντε Ἁγνή, ὁ Μιχαὴλ ὁ πάνσοφος, προστάτιδά σε κέκτηται, φρουρόν τε καὶ βοήθειαν, πρὸς ἀρετὴν ἰθυνόμενος.

Καταβασία. Τοὺς σοὺς ὑμνολόγους.

Κάθισμα

Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον

Τοῦ Χριστοῦ τὸ ἀρνίον τὸ λογικόν, ὁ ποιμάνας ἐν χλόῃ τῶν ἀρετῶν, ὁσίως τὰ θρέμματα, τοῦ Κυρίου θαυμάζεται, ὑπ' Ἀγγέλων ἀνδρείως αἰσχύνας τοὺς δαίμονας, ὑπ' ἀνθρώπων ἀξίως βιώσας ὡς ἄσαρκος. Ὅθεν τῇ Τριάδι, παραστὰς ἐπαξίως, πρεσβεύειν οὐκ ἔλιπε, Μιχαὴλ ὁ θαυμάσιος, πρὸς αὐτὸν οὖν βοήσωμεν· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Δόξα, τὸ αὐτό.

Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Μυριώνυμον ἅρμα τὸ τοῦ Δαβίδ, πορφυρόστρωτος κλίνη τοῦ Σολομῶν(τος), τόμος θεοχάρακτος, Ἡσαΐου καὶ ἔμψυχος, σκηνὴ τοῦ Μωσέως καὶ τεῖχος ἀδάμαντος, σὺ τοῦ Ἀμὼς ὑπάρχεις λυχνία χρυσήλατος, ἡ τοῦ Ζαχαρίου, Δανιὴλ τε τὸ ὄρος,

πυξίον κροκόλευκον, Ἀββακοὺμ καὶ τὸ ἔξοχον, προφητῶν περιλάλημα· πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς εὐσεβῶς προσκυνοῦσι, τὸν ἄχραντον τόκον σου.

Ὠδὴ δ΄. Σύ μου ἰσχύς.

Ῥεῖθρον ζωῆς, σοῦ τὴν διάνοιαν ἤρδευσεν, ἡ τοῦ θείου, Πνεύματος ἐνέργεια· ὅθεν πικρίαν τῶν ἡδονῶν, ἀπαρνησαμένη, θείας ἐπλήσθη γλυκύτητος, ἧς κόρον ἀνενδότως, μὴ λαμβάνουσα ψάλλει, τῇ δυνάμει σου δόξα φιλάνθρωπε.

Πῦρ πειρασμῶν, καὶ παθημάτων τὴν κάμινον, τῶν δακρύων, Μιχαὴλ τοῖς ῥεύμασι, καὶ τῇ τοῦ Πνεύματος δαψιλεῖ, ἔσβεσας ψεκάδι, συντηρηθεὶς ἀκατάφλεκτος· φλεγόμενος δὲ πόθῳ, τῷ τοῦ παμβασιλέως, τοὺς ἀΰλους ἐμάρανας δαίμονας.

Νοῦν ἀνυψῶν, πρὸς πολιτείαν οὐράνιον, τὸ σαρκίον, Μιχαὴλ ἐκούφισας, ἀπορῥαγὲν ὕλης τῶν παθῶν· ὅθεν τῇ Τριάδι, ἀδιαστάτως ἐλάτρευσας, Μωσέως γὰρ τὸν τρόπον, Ἠλιοῦ τε τὸν βίον, μιμησάμενος εἶδε τὸν Κύριον.

Θεοτοκίον

Ὅλη καλή, σὺ εἶ Ἁγνὴ ἡ πλησίον μου, ὁ Υἱός σου, Δέσποινα κραυγάζει σοι, ἁγιωτέραν ἀγγελικῆς, φύσεως εὑρών σε, καὶ πορφυρίδα τοῦ σώματος, ὑφάνας ἀπορῥήτως, ἐξ ἁγνῶν σου αἱμάτων, καὶ δοξάζων αὐτὸν τοὺς δοξάζοντας.

Ἕτερος. Ὁ καθήμενος ἐν δόξῃ.

Ἐκοσμήθης θείοις ἔργοις, Μιχαὴλ πανσέβαστε, ὑπακοὴν ἄκραν, θείαν τε ταπείνωσιν κτώμενος, πᾶν ἔργον ἐτέλεις εὐτελέστατον, εἰ καὶ Ὅσιε, γένους ἐνδόξου ἐτύγχανες.

Μοναχὸν ἀποκαρέντα, σὸς γεννήτωρ θεώμενος, Μιχαήλ σε πάτερ, θείας εὐφροσύνης πεπλήρωται, καὶ σὲ εἰκότως θεόφρον ἐμακάρισε, καὶ ἐπῄνεσεν, ὁ ἀντιπράττων ἦν πρότερον.

Ἡ ἐνάρετός σου μήτηρ, τοῦ πατρός σου τεθνήξαντος, σοῦ τὸν θεῖον βίον, ὄντα θαυμαστὸν ἀγαπήσασα, καταλιποῦσα τὰ πάντα πρός σε ἔδραμε, θείως ζήσασα, τῆς θείας δόξης τετύχηκε.

Θεοτοκίον

Πόθῳ θείῳ σου Παρθένε, πυρπολούμενος ἤγειρε, Μιχαὴλ ὁ θεῖος, ἅγιον ναὸν σοῦ ὀνόματι, καὶ τὰς ἐνθέους ἐτέλει πανηγύρεις σου, εὐφραινόμενος, καὶ ἀεί σε ἐπικαλούμενος.

Καταβασία. Τὴν ἀνεξιχνίαστον.

Ὠδὴ ε΄. Ἵνα τί με ἀπώσω.

Νυσταγμὸς ἀμελείας, ὄμματα καρδίας τῆς σῆς οὐκ ἐκάλυψεν, ἀλλὰ ταῖς φρεσί σου, πόθου θείου τὸ κέντρον ἐνθέμενος, ὁλονύκτῳ στάσει, καὶ προσευχῇ διεκαρτέρεις, τῆς σαρκὸς μὴ καλύπτων τὸ βλέφαρον.

Τὴν ταπεινοφροσύνην, σύνοικον κτησάμενος ἀπὸ νεότητος, θεωρίαις θείας, καὶ μελέταις τὸν νοῦν ἐλλαμπόμενος, ὑπὸ τοῦ δολίου, τὸν λογισμὸν οὐκ ἐσυλήθης, ἀλλὰ μέτριον εἶχες τὸ φρόνημα.

Τὸ γλυκύ σου τοῦ λόγου, καὶ σεμνόν σου τοῦ ἤθους Μιχαὴλ Ὅσιε, ἀγασθεὶς ὁ θεῖος, καὶ ἔτι νέος ὢν Ἀθανάσιος, σοὶ προσεκολλήθη, καὶ παρὰ σοῦ ἐναπεφάνθη, Μοναστῶν ἀρχηγέτης τοῦ Ἄθωνος.

Θεοτοκίον

Ὡς ὡραῖον τῷ κάλλει, τῷ τῶν ἀρετῶν εὐργικῶς σε παλάτιον, ὁ ὡραῖος Λόγος, σοῦ τὴν ἄφθορον μή-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

τραν ἐσκήνωσε, καὶ ἐκ σοῦ τεχθῆναι, ἀναλλοιώτως εὐδοκήσας, τῶν πιστῶν ὡραΐζει τὰ πρόσωπα.

Ἕτερος. Ἐξέστη τὰ σύμπαντα.

Προθήσας τὴν κρείττονα, τῆς ἡσυχίας βίωσιν, ἔδραμες προθύμως ἐν ἐρήμῳ, καὶ μόνος μόνῳ Θεῷ ἀοίδιμε, σχολάζων τοῖς πᾶσι ποθητός, ἅμα καὶ περίδοξος, Μιχαὴλ ἀναδέδειξαι.

Τῆς φήμης σου Ὅσιε, δραμούσης εἰς τὰ πέρατα, ἔδραμον προθύμως λαοῦ πλήθη, πρὸς σὲ τὸν ὄντα Μιχαὴλ ἄριστον, καὶ θεῖον διδάσκαλον σοφῶς, πάντες διδασκόμενοι, καὶ ζηλοῦντες τὸν βίον σου.

Τὴν ἔρημον Ὅσιε, τοῦ Κυμινᾶ ἐπόλισας· σὺ γὰρ ἐν αὐτῇ Πάτερ συνῆξας, πλήθη ἀζύγων, καὶ τούτων γέγονας, σοφὸς νομοθέτης καὶ ποιμήν, Μιχαὴλ θειότητος, Μωϋσῆς ὥσπερ δεύτερος.

Θεοτοκίον

Ἐφάνης ἐλέγχουσα, τὸν ἀκριβῆ φιλάργυρον· χειρὶ μὲν Παρθένε τῇ μιᾷ σου, εἶχες τὸν Κτίστην, τὴν δὲ ἑτέραν σου, ἐκράτει ὁ θεῖος Μιχαήλ, οὗπερ τὸ ἱμάτιον, χρυσιδίων ἐπλήρωσας.

Καταβασία. Ἐξέστη τὰ σύμπαντα.

Ὠδὴ στ'. Ἰλάσθητί μοι Σωτήρ.

Νεκρώσας τὰς ἡδονάς, ἀνεζωώθης τῷ πνεύματι, καὶ δήσας τὸν ἰσχυρόν, τὰ σκεύη διήρπασας, αὐτοῦ καὶ πρὸς εὔχρηστα, ἀρετῶν δοχεῖα, μεταπλάττεις νουθεσίαις σου.

Μικρολογίαν διττήν, τῆς διανοίας ἀπήλασας, τὸν ἄρτον τὸν ζωτικόν, καὶ τὸν εἰς ἐπάρκειαν, χειρὶ καὶ τῇ γλώττῃ σου, Μιχαὴλ προσνέμων, κατελλήλως τοῖς ἐθέλουσι.

Ὁ τάλαντον ἐκ Θεοῦ, διδασκαλίας εὑράμενος, ὡς τούτου θεία σπουδῇ, αὐξήσας εἰς ἄπειρον φωνῆς τοῦ Δεσπότου σου, ὑπακούεις χαίρων, πρὸς τὰ μείζονα καλούσης σε.

Θεοτοκίον

Νομίζων δίχα ἐν σοί, ὁ Ὕψιστος ἐνηνθρώπησε, καὶ σὰρξ ἀτρέπτως ὀφθείς, ἀνθρώποις ὡμίλησε, καὶ πρὸς ἐπουράνιον, ὑψωθῆναι τρίβον, τοῖς ἐθέλουσιν ὑπέδειξε.

Ἕτερος. Τὴν θείαν ταύτην

Τὴν σὴν ἰσάγγελον Ὅσιε, ζωὴν καὶ πολιτείαν συνέζευξας, τῷ ἀξιώματι, ἱερωσύνης καὶ ἔφθασας, εἰς ἀπαθείας ὕψος καὶ θεωρίας τε.

Μακρὰ προβλέπειν ἠξίωσαι, καὶ μέλλοντα προλέγειν θεόπνευστε, καὶ πλεῖστα θαύματα, ἐπιτελεῖν εἰς ἀπόδειξιν, τῆς πρὸς Θεὸν μεγίστης σου οἰκειότητος.

Θελήσας κτεῖναι κακότροπος, δροπῇ σε θεϊκῇ τὸν φρουρούμενον, ἔντρομος γέγονε· σὺ δὲ αὐτὸν ἀκατάκριτον, ὦ Μιχαὴλ ἀφῆκας ὡς χριστομίμητος.

Θεοτοκίον

Ζωῆς Μητέρα γινώσκων σε, Παρθένε Μιχαὴλ ὁ θειότατος, ζωῆς ἠλόγησαι, τῆς ἐπικήρου τῷ πόθῳ σου, καὶ τοῦ ἐκ σοῦ ἀῤῥήτως ἐνανθρωπήσαντος.

Καταβασία. Τὴν θείαν ταύτην.

Κοντάκιον

Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Σαρκὸς τὸ βαρὺ, λεπτύνας διὰ πράξεως, ψυχῆς τὸ ὀξὺ, πτερώσας δι' ἐλλάμψεως, Μιχαὴλ ὑπέραγνον, τῆς Τριάδος γέγονας οἴκημα· ἣν ὁρᾷς παμμάκαρ τρανῶς, πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.

Ὁ Οἶκος

Τῆς προσευχῆς τὸν ἄσειστον στύλον, τῆς τελείας ἀγάπης τὸν ἀ-

ἔναον νοῦν, τῆς κατανύξεως τὴν ἄβυσσον, τὸν οὐκ εἰς τρίβον ἀρθέντα πόλον, ἀλλ' ἄδυτα θεῖα, ἃ τρόμῳ βλέπει τὰ Χερουβίμ, θεωρίας ἐλλάμψει προκύψαντα, καὶ δόξης τῆς ὑπερθέου μετασχόντα, καὶ θέσει θεούμενον, Μιχαὴλ τὸν Μαλεΐνον, ὑμνεῖν σε ἀξίως οὐ σθένοντες, ἐξαιτοῦμεν συγγνώμην κραυγάζοντες ἅμα· μὴ παύσῃ πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.

Συναξάριον

(Ἀντιγραφὲν ἐκ τοῦ μεμβραΐνου κώδικος Δ' 39 τοῦ ιβ'. αἰῶνος.)

Τῇ αὐτῇ ἡμέρᾳ (Ἰουλίου 12) μνήμη τοῦ Ὁσίου πατρὸς ἡμῶν Μιχαὴλ τοῦ Μαλεΐνου.

Στίχοι

Ὁ Μιχαὴλ τὴν κλῆσιν αὐχῶν Ἀγγέλου,
Καὶ βίον ἐσπούδασεν ἔξει Ἀγγέλων.

Οὗτος ὥρμητο μὲν ἐκ τοῦ περὶ τὴν Καππαδοκίαν Χαρσιανοῦ, (*) γονεῦσιν ἀρίστοις χρησάμενος, οἵ τε γὰρ πρὸς πατρὸς αὐτῷ πατέρες τὰ πρῶτα τῶν ἐν ἀξιώμασιν ἔφερον, τὴν τῶν Πατρικίων Ἀρχὴν διέποντες, τό τε μητρῷον γένος, εἰς βασιλεῖς ἀνέφερε τὴν σειράν, καθ' αἷμα τῷ μεγίστῳ Αὐτοκράτορι προσήκουσα Ρωμανῷ. Οὐ μήν, οὐδὲ οἱ κατὰ σάρκα τούτῳ γεννήτορες, Εὐδόκιμος καὶ Ἀναστασώ, ἐλάττονά τινα τῆς τῶν προγόνων περιφανείας τὴν τύχην ἐκέκτηντο. Παραπλήσιοι δὲ καὶ οὗτοι καὶ τῆς Συγκλήτου Βουλῆς γνωριζόμενοι· ἀλλ' οὐδὲν ταῦτα πρὸς τὸ τῆς εὐσεβείας καὶ πίστεως αὐτῶν ὑπερβάλλον καὶ καθαρόν. Καὶ τοῦτο δῆλον ἐξ ὧν εὐχῆς ἔργον ἐγεγόνει ὁ μακάριος οὗτος· ἐπειδὴ γὰρ μακρὸς αὐτοῖς μετὰ τὴν συζυγίαν ἐτρίβετο χρόνος καὶ τὰ ἐκ τοῦ γάμου καλὰ οὐδαμοῦ. Ἀλλὰ ἄλλοτε μὲν κατὰ ῥοῦν προεχώρει τὰ πράγματα, πήρωσιν δὲ βίῳ τὴν ἀπαιδίαν ἐνόμιζον, πρὸς τὸν δυνάμενον καταφεύγουσι Κύριον, καρπὸν κοιλίας αὐτοῖς χαρίσασθαι ἐξαιτούμενοι. Ἀλλὰ δὴ καὶ πρὸς τὸν τῆς Θεοτόκου ναόν, τὸν ἐν Κουκᾷ, χωρίον δὲ τοῦτο πλησίον Χαρσιανοῦ, παραγίνονται λύσιν τῆς στειρώσεως δοθῆναι δεόμενοι. Ἐπακούει δὲ τῆς τούτων δεήσεως, ἡ τῶν θλιβομένων παράκλησις, καὶ νύκτωρ ἐπιφανεῖσα Μεθοδίῳ τῷ Ἱερεῖ ἐγχειρίζει τούτῳ μαφόρια μὲν τέσσαρα, σουδάρια δὲ τρία, παρεγγυωμένη δοθῆναι ταῦτα τῇ στείρᾳ Ἀναστασώ. Ἐκ δὲ τῶν τριῶν σουδαρίων τούτων πάλιν, ὕστερον ἀναλήψομαί φησιν ἐνκἀντεῦθεν ἡ πρώην ἄπαις, πολύπαις καὶ καλλίπαις ἐδείκνυτο.

Ὁ ἱερὸς τοίνυν οὗτος ἀνὴρ πρῶτος εἰς φῶς προελθών, Μανουὴλ παρὰ τῶν γονέων ὠνόμαστο· ἤδη δὲ ὀκτωκαιδέκατον ἔτος ἄγων τῆς ἡλικίας καὶ παρὰ τοῦ κρατοῦντος τῷ τοῦ σπαθαροκανδιδάτου τιμηθεὶς ἀξιώματι, τῶν τε γυναικὶ συζεῦξαι τοῦτον διὰ πλείστης ἐχόντων σπουδῆς, φθάνει τὰ τῆς βουλῆς ἐκεῖνος ἄπρακτα ποιησάμενος.

Κατά τινα γὰρ χρείαν, συνάμα τῷ πατρί, τῇ Κωνσταντινουπόλει ἐπιδεδημηκώς, κἀκεῖ περιληφθείς, τοῦ πατρὸς οἰκαδε ὑποστρέψαντος, καὶ τὸν εὐσεβῆ Λέοντα τοῦ παρόντος ἐκδημήσαντα βίου, καὶ ἤδη ἐκκομιζόμενον κατιδών, ἐπλήγη τε τὴν καρδίαν σφοδρῶς καὶ οὐδὲ προσολέγον παρακληθῆναι ἠνείχετο. Εἰ γὰρ οὐδὲ βασιλεῖς φησιν ἔχουσί τι πλέον τῆς κοινῆς φύσεως, ἀλλ' ἐπίσης καὶ τούτων καταστρατηγεῖ θάνατος, περιττή μοι λοιπὸν ἡ περὶ τὸν βίον ἀναστροφή· καὶ ἅμα κλαίων, ἐπὶ χεῖρας λαβὼν τὸ ψαλτήριον·

(*) Βυζαντιακὸν θέμα περιλαμβάνον τὴν μέσην Καππαδοκίαν, πρωτεύουσαν εἶχε τὴν Καισάρειαν, (Ἐλευθερουδάκη Ἐπίτ. Ἐγκυκλ. Λεξικόν.)

Athos Library
Αγιορειτική Βιβλιοθήκη

«Ἐπὶ τῷ Κυρίῳ πέποιθα, πῶς ἐρεῖτε τῇ ψυχῇ μου, μεταναστεύου ἐπὶ τὰ ὄρη ὡς στρουθίον...» εὑρίσκει καὶ τὰ ἑξῆς. Τοῦτο τῆς λύπης λαβὼν παραμύθιον, τῆς Κων)πόλεως εὐθὺς ἔξεισι, πλησίον τε τοῦ ποταμοῦ Γαλλίου γενόμενος, τῷ τοῦ Κυμινᾶ παραρρέοντος Ὄρει, τὸ μὲν συνεπόμενον αὐτῷ πλῆθος ὑπηρετοῦν προσέπεμψε τῷ οἰκείῳ πατρὶ μηνύσοντας τὴν αὐτοῦ ἄφιξιν.

Ὁ δὲ τὸ Ὄρος καταλαβών, τὸν μέγαν Ἰωάννην τὸν Ἐλατίτην, εἶχε γὰρ καὶ πρώην ἀπὸ τῆς φήμης τὸν ἄνδρα γνώριμον, ἐπιζητήσας εὑρίσκει· καὶ προσπεσών, τυχεῖν τοῦ θείου σχήματος καθικέτευεν. Ὁ δὲ ἠγάπησε γὰρ καὶ οὗτος τὸν νέον, πολλὴν ἀπὸ τῆς ὄψεως τὴν τῆς ψυχῆς προφαίνοντα ὡραιότητα, τὸ θεῖόν τε ἀμφιέννυσι σχῆμα καὶ Μιχαὴλ μετωνόμασεν. Ἔπειτα τὰ κατ' αὐτὸν ἐξαγγέλλει, πάντα τυχὼν ὁ θαυμάσιος τοῦ σκοποῦ.

Ὁ δὲ γέρων ἀγάμενός τε τῆς προθυμίας τὸν παῖδα καὶ πολλαῖς δεξιωσάμενος περιπτύξεσιν, εἶχε τοῦτον τοῦ λοιποῦ κατ' ἴχνος αὐτῷ πορευόμενον. Οἱ δὲ τούτου γονεῖς τὰ κατὰ τὸν παῖδα μαθόντες, μικροῦ καὶ αὐτοῦ, τὴν ἄψυχον φύσιν τοῖς οἰκείοις θρήνοις πρὸς δάκρυα παρεκάλουν καὶ στεναγμούς. Τέλος δὲ ὁ τούτου πατὴρ τὸ Ὄρος καταλαβὼν καὶ νυκτὸς ἀνελθὼν ἔνθα τὴν οἴκησιν ὁ γέρων ἐκέκτητο, κύκλῳ περιστήσας τὸν συνεπόμενον τούτῳ λαὸν, αὐτὸς ἐγγὺς ἐγένετο τῆς αὐλῆς. Ἔτυχε δὲ ὁ γέρων τὴν ἑωθινὴν δοξολογίαν ἐπιτελῶν καὶ τοῦ Μιχαὴλ ἐν τῇ τοῦ καθίσματος ὥρᾳ, «Ψυχὴ τὰ ὧδε πρόσκαιρα, τὰ δὲ ἐκεῖσε αἰώνια» ψάλλοντος. Ὁ πατὴρ ἀκούων ἔξωθεν τοῦτον, στεναγμοὺς ἐκ καρδίας βαρεῖς ἀνέπεμπε· καὶ τὸν ὕλον τελέσας κανόνα ὁ γέρων, ἔξεισι τοῦ εὐκτηρίου καὶ τῷ ἄρχοντι προσεκύνησεν. Ὁ δὲ τῷ πάθει φλεγμαίνων, σκώμμασιν ἠμείβετο τοῦτον καὶ ἀπειλαῖς ὡς τὴν ἑαυτοῦ ζωὴν καὶ τὸ φῶς τῶν ὀφθαλμῶν ἀθρόως ἀποστερήσαντα. Ὁ δὲ τοῦ Χριστοῦ μαθητής, συνήθως τῇ πραότητι χρώμενος, κατεμάλαττε τούτου τὸ αὐστηρὸν καὶ ἀνένδοτον, ὡς μηδὲν πλέον τῶν ἠπειλημένων δράσαντα, μόνον δὲ τὸν ἴδιον παῖδα παραλαβόντα, οἴκαδε διάζεσθαι ἀπελθεῖν.

«Καὶ ἐποίησαν οἱ υἱοὶ Ἰσραὴλ τὸ πονηρὸν ἔναντι Κυρίου, καὶ παρέδωκεν αὐτοὺς Κύριος ἐν χειρὶ Μαδιὰμ ἔτη ἑπτά, καὶ κατίσχυε χεὶρ Μαδιὰμ ἐπὶ Ἰσραήλ· καὶ ἐποίησαν ἑαυτοῖς οἱ υἱοὶ Ἰσραὴλ ἀπὸ προσώπου Μαδιὰμ μάνδρας ἐν τοῖς ὄρεσι καὶ τοῖς σπηλαίοις καὶ τοῖς ὀχυρώμασι. Καὶ ἐγένετο ὅταν ἔσπειρεν ἀνὴρ Ἰσραήλ... καὶ παρενέβαλον ἐπ' αὐτούς, καὶ διέφθειραν τὰ ἐκφόρια τῆς γῆς, (τὰ προϊόντα τῆς γῆς) καὶ οὐχ ὑπελείποντο ὑπόστασιν ζωῆς ἐν Ἰσραὴλ καὶ ποίμνιον καὶ μόσχον καὶ ὄνον. Ὅτι αὐτοὶ καὶ τὰ κτήνη αὐτῶν ἀνέβαινον, καὶ τὰς σκηνὰς αὐτῶν παρέφερον, καὶ παρεγίνοντο ὡς ἀκρὶς εἰς πλῆθος, καὶ αὐτοῖς καὶ ταῖς καμήλοις αὐτῶν οὐκ ἦν ἀριθμός· καὶ παρεγίνοντο ἐν τῇ γῇ Ἰσραήλ, τοῦ διαφθείρειν αὐτήν· καὶ ἐπτώχευσεν Ἰσραὴλ σφόδρα ἀπὸ προσώπου Μαδιάμ.» (Κριταὶ κεφ. ϛ΄ 1—7)

Εἰς τοιαύτην λοιπὸν οἰκτρὰν κατάστασιν εὑρισκόμενος ὁ Ἰσραηλιτικὸς λαός, ὁ Γεδεὼν ὡς ἀρχηγὸς αὐτοῦ καὶ στρατηγὸς ὅπου ἦτο, ἐπόνει ἡ καρδία του καὶ ἐλυπεῖτο τοὺς ὁμοφύλους του διὰ τὴν τυραννίαν καὶ τὰ κακὰ τὰ ὁποῖα ὑπέφερον ἐνώπιον τοῦ αἱμοχαροῦς ἐκείνου τυράννου Μαδιάμ· καὶ παραμερίσας ἀπὸ τοῦ Στρατοπέδου ὡς εἴπομεν ἀνωτέρω, κλίνας τὰ γόνατα πίπτει εἰς θερμὴν προσευχὴν καὶ συγκεντρώσας ὅλον τὸν νοῦν του πρὸς τὸν Θεόν, ἱκέτευε αὐτὸν μετὰ θερμῶν δακρύων, ἵνα ποιήσῃ, ἔλεος εἰς αὐτούς.

Ἐκεῖ λοιπὸν προσευχόμενος ἐνεφανίσθη ἐνώπιον αὐτοῦ Ἄγγελος Κυρίου καὶ εἶπε πρὸς αὐτόν· «Κύριος μετὰ σοῦ δυνατὸς ἐν ἰσχύϊ· καὶ εἶπε πρὸς αὐτὸν Γεδεών... καὶ εἰ ἔστι Κύριος μεθ' ἡμῶν, καὶ ἵνατί εὗρεν ἡμᾶς πάντα τὰ κακὰ ταῦτα;» καὶ πάλιν πρὸς τὸν Ἄγγελον ὁ Γεδεών· «ἐν ἐμοὶ Κύριε, ἐν τίνι σώσω τὸν Ἰσραήλ; ἰδοὺ ἡ χιλιάς μου ταπεινοτέρα ἐν Μανασσῇ, καὶ ἐγὼ εἰμι μικρὸς ἐν τῷ οἴκῳ τοῦ πατρός μου. Καὶ εἶπε πρὸς αὐτὸν ὁ Ἄγγελος Κυρίου· ὅτι Κύριος ἔσται μετὰ σοῦ, καὶ πατάξεις τὴν Μαδιὰμ ὡσεὶ ἄνδρα ἕνα.» (Αὐτόθι 12, 13—17). Τότε λοιπὸν λαβὼν θάρρος ὁ Γεδεὼν καὶ ἀφοῦ ἐθυσίασεν εἰς τὸν Κύριον ἡτοιμάσθη πρὸς πόλεμον ἔχων μόνον 32 χιλιάδας στρατόν ἀπέναντι τοῦ ἐχθροῦ ἔχοντος δεκαπλάσιον στρατόν· ἀφοῦ πρῶτον ἐδήλωσεν εἰς τὸν στρατόν του τὸ θάρρος τὸ ὁποῖον ἐνέπνευσεν ὁ Ἄγγελος εἰς αὐτὸν καὶ τὴν ὑπόσχεσιν ὅτι θὰ ἔχωσιν ὑπέρμαχον αὐτὸν τὸν Θεόν.

Ὁ δὲ Παντοδύναμος Θεός, ἵνα δείξῃ εἰς αὐτοὺς ὅτι ἡ ἀκαταμάχητος δύναμις αὐτοῦ θὰ νικήσῃ τοὺς ἐχθροὺς καὶ ἵνα μὴ ὑπερηφανευθῶσι καὶ καυχηθῶσιν οἱ Ἰσραηλῖται, διέταξε τὸν Γεδεὼν ἵνα ἀπολύσῃ τὸν ὑπόλοιπον στρατόν, κρατήσῃ δὲ πρὸς πόλεμον μόνον 300 στρατιώτας. Κρατήσας λοιπὸν τοὺς τριακοσίους στρατιώτας καὶ συγκροτήσας πόλεμον ἐναντίον τῶν Μαδιανιτῶν, κατὰ τὸ μέσον τῆς νυκτὸς κατετρόπωσε καὶ κατέσφαξε πάντας ἐν ρομφαίᾳ θαυματουργικῶς, ἔχων μαζί του τὴν ἀνίκητον δύναμιν τοῦ Παντοδυνάμου Θεοῦ. (ὅρα Κριταὶ κεφ. ζ΄ καὶ η΄)

Βλέπει ὁ ἀναγνώστης πόσα κακὰ καὶ πόση δυστυχία εὕρισκε τὸν Ἰσραηλιτικὸν λαὸν ἕνεκα τῆς ἀποστασίας ἀπὸ τοῦ ἀληθινοῦ Θεοῦ τοῦ τόσον εὐεργέτου αὐτοῖς, καὶ ἕνεκα τῶν πονηρῶν ἔργων τὰ ὁποῖα ἔπραττε, παρεκκλίνας εἰς τὴν εἰδωλολατρείαν καὶ εἰς τόσας ἄλλας ἀκατονομάστους ἁμαρτίας.

Ἂς παραλληλίσωμεν τώρα τὰ ἱστορικὰ γεγονότα τῶν Ἰσραηλιτῶν π. Χριστοῦ καὶ τὰ τῶν μ. Χριστὸν Ἑλλήνων τῶν Χριστεπωνύμων νέων Ἰσραηλιτῶν. Πᾶς ἐχέφρων μελετητὴς τῆς ἁγίας Γραφῆς ἤτοι τῆς Π. Διαθήκης, παρακολουθῶν τὰ ἱστορικὰ γεγονότα τοῦ Ἰσραηλιτικοῦ ἔθνους ἐκπλήσσεται καὶ ἐλιγγιᾷ.

Μετὰ τὴν ἔξοδον ἐκ τῆς Αἰγύπτου, ὁσάκις ἀπεστάτουν ἀπὸ τοῦ ἀληθινοῦ Θεοῦ καὶ παρέκλινον εἰς τὴν εἰδωλολατρείαν, καὶ παρασυρόμενοι ὑπὸ τῶν εἰδωλολατρῶν εἰς ἀκατονομάστους αἰσχρουργίας καὶ ἀκολασίας, ἡ θεία δίκη φύσει μισοῦσα καὶ ἀποστρέφουσα τὴν ἁμαρτίαν, παρουσιάζετο ὡς ἄμεσος τιμωρὸς τιμωροῦσα ἀμειλίκτως τὸ ἀχάριστον τοῦτο ἔθνος, τὸ πολλάς γε εὐεργεσίας ἀπολαῦσαν ὑπὸ τοῦ λυτρωτοῦ αὐτοῦ Θεοῦ. Οὕτω λοιπὸν παραχωρήσει τῆς θείας δικαιοσύνης παρεδί-

λην ζωγράφος διατηρεῖ τὰ κύρια χαρακτηριστικὰ καὶ τὸν βασικὸν τύπον τῶν Βυζαντινῶν του προτύπων.

(Ἀκολουθεῖ)

Athos Library
Αγιορειτική Βιβλιοθήκη

δοντο καὶ ἠχμαλωτίζοντο οἱ Ἰσραηλίται ὑπὸ τῶν ἀλλοπίστων καὶ ἀλλοεθνῶν οὐχὶ μόνον ἑπτὰ ἔτη ἀλλὰ δεκάδας καὶ τεσσαρακοντάδας ἐτῶν εὑρισκόμενοι εἰς τυραννικὴν αἰχμαλωσίαν καὶ καταδυναστείαν, ὑφίσταντο τὰ πάνδεινα, ὁπότε εὑρισκόμενοι εἰς τοιαύτην τυραννικὴν καὶ κτηνώδη κατάστασιν, μετανοοῦντες ὑπέστρεφον πάλιν ἐπὶ τὸν ἀληθῆ Θεὸν τῶν πατέρων αὐτῶν, ὅστις οἰκτείρων αὐτοὺς καὶ δεχόμενος τὴν μετάνοιαν αὐτῶν, ἀπελύτρωνε θαυμασίως αὐτοὺς ἀπό τὰς χεῖρας τῶν ἀλλοεθνῶν. Τὰ περισσότερα δὲ πάνδεινα καὶ αἰχμαλωσίας ὑπέστησαν μετὰ τὴν τεσσαρακονταετῆ περιπέτειαν τῆς ἐρήμου· ὅτε δηλαδὴ ἔφθασαν εἰς τὴν ὑποσχεθεῖσαν ὑπὸ τοῦ Θεοῦ γῆν τῆς ἐπαγγελίας ἤτοι τὴν γῆν Χαναὰν (Παλαιστίνην), ἣν διεμοίρασαν εἰς δώδεκα μέρη συμφώνως μὲ τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ.

Ἂς ἔλθωμεν ἤδη καὶ εἰς τὴν ἐξιστόρισιν τῶν γεγονότων τῶν μ. Χρ. Ἑλλήνων καὶ θὰ ἴδωμεν τὰ ἴδια καὶ συναφῆ συμπτώματα καὶ συμβάντα.

Μετὰ τὴν θριαμβευτικὴν ἐπικράτησιν τοῦ Μ. Κωνσταντίνου 272—337 μ. Χ. τοῦ εὐσεβοῦς καὶ πρώτου Χριστιανοῦ Βασιλέως, ἐσχηματίσθη τὸ Ἑλληνορθόδοξον Χριστιανικὸν Ἔθνος, τὸ ὁποῖον ἐπί τι χρονικὸν διάστημα διέπρεψε λαμπρότατα, δραστηρίως καὶ ἀποτελεσματικῶς ἔν τε τῇ Ἐκκλησίᾳ καὶ τῇ Πολιτείᾳ· μετά τινα δὲ χρόνον ἐξηργέρθησαν διάφοροι αἱρέσεις, αἵτινες ἐκλόνισαν τὴν Ἐκκλησίαν καὶ ἐδίχασαν τοὺς Χριστιανοὺς εἰς πολλὰ καὶ διάφορα σχίσματα, πολλοὶ δὲ εὐσεβεῖς Χριστιανοὶ ἀνεδείχθησαν μάρτυρες. Ἐπὶ τῆς ἐποχῆς δὲ τῶν διαδόχων τοῦ Μ. Κωνσταντίνου ἕως τὴν ἐποχὴν τῆς Δ.΄ Σταυροφορίας 1204 διὰ τὰς πολλὰς παρανομίας τῶν χριστιανῶν, παραχωρήσει τοῦ δικαίου Θεοῦ, διελύθη ἡ μακροχρόνιος καὶ ἔνδοξος ἑλληνικὴ αὐτοκρατορία τοῦ Βυζαντίου, τὴν ὁποίαν καταλαβόντες οἱ Λατῖνοι ἐπίεζον καὶ κατέθλιβον τοὺς Ἕλληνας μέχρι τοῦ 1261, ὁπότε Μιχαὴλ ὁ Παλαιολόγος καταλαβὼν τὴν Κωνσταντινούπολιν ἠλευθέρωσε τοὺς Ἕλληνας ἀπὸ τοὺς Φράγκους, οἵτινες ἐκυριάρχησαν ἐν Κων]πόλει 57 χρόνους. Ἀπὸ τῆς ἐποχῆς ἐκείνης μετανοήσαντες οἱ χριστιανοὶ διὰ τὰς παρανομίας καὶ παραβάσεις τῶν ἐντολῶν τοῦ Θεοῦ, ὁ Πανάγαθος Θεὸς ἠλευθέρωσεν αὐτοὺς ἀπὸ τὴν καταδυναστείαν τῶν Λατίνων (ἀπὸ 1ης—4ης Σταυροφορίας) καὶ ἔδωκεν εἰς αὐτοὺς Κυβερνήτας τοῦ Βυζαντινοῦ Κράτους τοὺς Παλαιολόγους, Ἀνδρόνικον Β΄ Παλαιολόγον 1282—1328, Ἀνδρόνικον Γ΄ Παλαιολόγον 1328—1341, Ἰωάννην Ε΄ Παλαιολόγον 1341—1391, Ἰωάννην ΣΤ΄ Κατακουζηνὸν 1341—1354. Κατὰ τὴν ἐποχὴν ταύτην περιῆλθεν εἰς ἔριδας ὁ Ἰωάνν. Κατακουζηνὸς πρὸς τὴν βασιλομήτορα καὶ ἐπανεστάτησε· ὁ ἐμφύλιος αὐτὸς πόλεμος διήρκεσεν πέντε ἔτη, ἕνεκα τούτου λαβόντες ἀφορμὴν οἱ Τοῦρκοι διότι διὰ τὴν ἀδράνειαν καὶ τὰ κόμματα τῶν Ἑλλήνων εἶχον ἤδη κατακτήσει οἱ Τοῦρκοι πολλὰ μέρη τῆς Μικρᾶς Ἀσίας καὶ εἶχον κυριεύσει ἀρκετὰ μέρη πέριξ τοῦ Βυζαντινοῦ Κράτους ἀπὸ τὸ 1200 μ. Χ. Οὗτοι λοιπὸν (οἱ Τοῦρκοι) λαβόντες ἀφορμὴν ἐκ τοῦ ἐμφυλίου πολέμου τῶν Ἑλλήνων κατὰ τὴν ἐποχὴν Ἰω. ΣΤ΄ Κατακουζηνοῦ καὶ βοηθούμενοι ὑπὸ τῶν Βουλγάρων καὶ Σέρβων (διαρκοῦντος τοῦ ἐμφυλίου πολέμου) κατέλαβον ὅλας τὰς κτήσεις ἐν τῇ Μ. Ἀσίᾳ τοῦ Βυζαντίου, ἐκτὸς τῆς Φιλαδελφειας, ἔπειτα διελθόντες τὸν Ἑλλήσποντον, κατέλαβον τὴν Καλλίπολιν καὶ μετὰ ταῦτα ὅλην τὴν Θρακικὴν Χερσόνησον· καὶ οὕτω ἐσχημάτισαν ἰσχυρὸν Κράτος πέριξ τῆς Κωνσταντινουπόλεως, κυβερνόμενον ὑπὸ τοῦ Μουρὰτ Α΄ 1360 μ. χ. Καὶ τοιουτοτρόπως λοιπὸν χρόνον μὲ τὸν χρόνον ἐξησθένει τὸ Βυζαντινὸν Κράτος ἕως τὴν ἐποχὴν τοῦ τελευταίου Κωνσταντίνου Παλαιολόγου (1449—1453), ὅπου ὕστερον ἀπὸ πολλὰς πολιορκίας καὶ ἐφόδους κατόρθωσαν οἱ Τοῦρκοι νὰ κυριεύσουν τὴν Κωνσταντινούπολιν τὴν 29ην Μαΐου ἡμέραν Τρίτην ἔτος 1453, καὶ οὕτω διελύθη τὸ ἔνδοξον Βυζαντινὸν Κράτος ἕνεκα τῶν ἁμαρτιῶν καὶ τῶν κομμάτων τῶν Ἑλλήνων. Αὐτὰ εἶνε τὰ ἀποτελέσματα τῶν κομμάτων καὶ διαιρέσεων τοῦ λαοῦ, τὰ ὁποῖα σήμερον μᾶς γίνονται μαθήματα.

Μετὰ τὴν Ἅλωσιν τῆς Κων]πόλεως (ὑπὸ Μωάμεθ Β΄) ὁ Σουλτᾶνος ἐπεχείρησε βαθμηδὸν τὴν κατάκτησιν καὶ τῶν λοιπῶν ἑλλην. χωρῶν, κατέλαβε τὰς Ἀθήνας τῷ 1456, ὑπέταξε τὴν Πελοπόννησον τῷ 1460, κατέλαβε τὴν Κύπρον τῷ 1570, τὴν Κρήτην τῷ 1645 καὶ οὕτως ἀπετελέσθη τὸ μέγα Ὀθωμανικὸν Κράτος, οἱ δὲ Ἕλληνες ἔγιναν ραγιάδες (ὑπόδουλοι) τῶν Τούρκων.

Μετὰ τὴν πτῶσιν λοιπὸν τῆς βυζαντινῆς Αὐτοκρατορίας, πάντες οἱ λόγιοι καὶ σοφοὶ Ἕλληνες τοῦ Βυζαντίου ἀνεχώρησαν καὶ ἐπῆγαν εἰς τὴν Δυτικὴν Εὐρώπην ὅπου μετέδωκαν τὸν πολιτισμὸν καὶ τὰ Ἑλληνικὰ γράμματα εἰς τοὺς Δυτικοὺς λαούς, οἵτινες ἕως τότε ἦσαν βάρβαρα ἔθνη.

(Ἀκολουθεῖ)

ΕΚ ΤΗΣ ΣΥΛΛΟΓΗΣ ΑΘΑΝ. ΛΑΥΡΙΩΤΟΥ ΙΑΤΡΟΥ (†1940)

ΑΠΟΦΘΕΓΜΑΤΑ ΦΙΛΟΣΟΦΙΚΑ

Ἐκ τοῦ Λαυρ. Κώδικος Ω 111

(Συνέχεια ἐκ τῆς σελίδος 279)

Ἐὰν θέλῃς ἐκκόψαι ἀπὸ σοῦ... ἔκκοψον πρῶτον τὴν ῥίζαν τοὐτέστι τὴν γαστριμαργίαν καὶ τὴν θεωρίαν τῶν γυναικῶν καὶ ἀναγίνωσκε τὴν θείαν γραφὴν ἀδιαλείπτως, δακρύων καὶ προσευχόμενος καὶ ἐνθυμούμενος τὴν αἰφνίδιον ἐπέλευσιν τοῦ θανάτου, καὶ τρέμων τὴν γέενναν τοῦ πυρός. Μὴ τούτων γὰρ γενομένων, ἀδύνατόν ἐστι ταῦτα τὰ ἄγρια θηρία τῆς πορνείας ἀποκτεῖναι.

—Αὐτάρκειαν παράσχωμεν σώματι· καὶ γὰρ ἡ ἀσθένεια ἐκ τοῦ κόρου γίνεται· ἡ δ' αὐτάρκεια ὑγεία σώματος ἐστίν· οὐ γὰρ χάριν ἡδονῆς θέλει εἶνε ἡ τῶν βρωμάτων χρῆσις, ἀλλ' ὅσον ὑπουργεῖν πρὸς τὸ ζῆν καὶ μόνον τὸ σῶμα, καὶ οὐχ' ὅσον δουλοῦσαι ταῖς ὁρμαῖς τῆς ἐπιθυμίας, ἀλλ' ὅσον ὑπουργῆσαι πρὸς τοὺς ὕμνους καὶ τὰς πνευματικὰς ἀκολουθίας· ἡ γὰρ σύμμετρος καὶ κατὰ λόγον τῶν τροφῶν γινόμενοι κατάληψις τῆς ὑγείας φροντίζει τοῦ σώματος, ἡ δὲ ἀμέτρως καὶ αὐτὴν τὴν ἁγιωσύνην καὶ τὴν ὑγείαν ἀφαιρεῖται

— Χειρὶ Θεοῦ ἐπλάσθης ἄνθρωπε· αἰδέσθητι τὸν πλάσαντα τοῦ πλάσαντός σου καὶ κτίσαντος· καὶ μὴ ἐκφέρου πρὸς τὰς ἀλόγους ἡδονὰς ὡς ἀνδράπυδον, ἅρπασον τὴν σὴν αὐτοῦ ψυχὴν ἐκ τοῦ κόσμου· φεῦγε Σοδόμων ἐμπρησμόν, ὅδευσον ἀμεταστρέπτως, μὴ γνῃ στήλη ἁλός, εἰς τὸ ὄρος σώζου μὴ συμπαραληφθῇς, ἐὰν μικρόν τι παρατραπήσῃ πρὸς ἑαυτὸν εὐανάγου πρὶν παντελῶς ἔξω πέσῃς καὶ κατενεχθῇς εἰς θάνατον· καὶ γενοῦ καινὸς ἀντὶ παλαιοῦ, καὶ ψυχῆς ἐώρταζε τὰ ἐγκαίνια.

(Ἀκολουθεῖ)

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ΑΚΟΛΟΥΘΙΑ
ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ
ΦΙΛΟΘΕΟΥ
ΤΟΥ ΕΝ ΤΩι ΑΘΩ ΙΕΡΩι ΚΟΙΝΟΒΙΩι ΤΟΥ ΔΙΟΝΥΣΙΟΥ ΑΣΚΗΣΑΝΤΟΣ
ΕΟΡΤΑΖΟΜΕΝΟΥ ΤΗι ΚΑ΄. ΟΚΤΩΒΡΙΟΥ

(Ποίημα Ἰωσὴφ Ὑμνογράφου τοῦ ἐκ Φουρνᾶ τῶν Ἀγράφων)

Μετὰ προλόγου ὑπὸ τοῦ Σεβασμιωτάτου Μητροπολίτου Θεσσαλιώτιδος καὶ Φαναριοφερσάλων κ. Ἰεζεκιὴλ.

ΠΡΟΛΟΓΟΣ

Ο ΟΣΙΟΣ ΦΙΛΟΘΕΟΣ Ο ΑΓΙΟΡΕΙΤΗΣ

Τὸ παρελθὸν θέρος κατὰ μῆνα Ἰούλιον ἐξεδράμομεν μετὰ τοῦ Βυζαντινολόγου Καθηγητοῦ τοῦ Πανεπιστημίου Ἀθηνῶν κ. Ἀναστασίου Ὀρλάνδου πρὸς ἐπίσκεψιν Βυζαντινῶν τινων μνημείων τῆς Θευσώστου Παροικίας μου ἐπὶ τῆς Πίνδου, καὶ ἐφθάσαμεν εἰς τὴν διαλελυμένην μονὴν τῆς Πέτρας.

Ἡ μονὴ αὕτη τιμᾶται εἰς μνήμην τῆς Κοιμήσεως τῆς Θεοτόκου, ἔρημος ἀπὸ πολλῶν ἐτῶν, εἶναι ἤδη μετόχιον τῆς ἱερᾶς μονῆς Κορώνης, μόνον τοῦ ἀγαθοῦ ἱερομονάχου Κοσμᾶ παραμένοντος, ὅστις μονάσας πρότερον ἐν ἁγίῳ Ὄρει καὶ Παλαιστίνῃ κατέφυγεν ἀπὸ τριακονταετίας ἐκεῖ ζῶν ὡς ἀληθὴς ἐρημίτης.

Ἡ μονὴ ἀκμάσασα ἄλλοτε, διασῴζει περικαλλέστατον ἁγιογραφημένον Βυζαντινὸν ναὸν μὲ κατάχρυσον σκαλιστὸν τέμπλον, φέρον χρονολογίαν ΖΡΛΓ΄ (1625).

Συνοδός μας ἦτο καὶ ὁ ἐμὸς Πρωτοσύγκελος κ. Λουκιανός, ὅστις εἰς τὰς διαφόρους συχνὰς ἀνὰ τὴν Πίνδον ἐκδρομάς του πρὸς ἔρευναν ἐγκαταλελειμμένων Βυζαντινῶν μνημείων διαλελυμένων μονῶν καὶ ἐρημικῶν Παρεκκλησίων, ἀναδιφεῖ τὰ σητόβρωτα ἑρμάρια πρὸς εὕρεσιν παλαιῶν ἐντύπων ἢ χειρογράφων. Εἰς ἕνα ἐκ τούτων ἀνεῦρε παλαιὰν χειρόγραφον φυλλάδα ἐμπεριέχουσαν «Ἀκολουθίαν τοῦ Θεοφόρου Πατρὸς ἡμῶν Φιλοθέου τοῦ ἐν τῷ Ὄρει Ἄθῳ ἀσκήσαντος, ἑορταζομένου τῇ κα΄ Ὀκτωβρίου», τὴν ὁποίαν καὶ κατ' ἐντολήν μου παρέλαβεν.

Μνήμη ἁγίου Φιλοθέου δὲν ἀναγράφεται οὔτε ἐν τῷ Ὡρολογίῳ οὔτε ἐν τῷ μηναίῳ Ὀκτωβρίου, ἀναγράφεται ὅμως ἐν τῷ Συναξαριστῇ. (*) Ἡ Ἀκολουθία ἀναφέρεται εἰς τὴν τρισόλβιον καὶ θαυματουργὸν αὐτοῦ κάραν, ἣν πλουτεῖ ἤδη ἡ τῆς Ὑπεραγίας Θεοτόκου μονή, ἡ ἐπικεκλημένη Πέτρα, κειμένη ἐν τοῖς ὁρίοις τῶν Ἀγράφων. Ὄντως δὲ ἐν τῇ μονῇ Πέτρας ὑπάρχει ἀργυροῦν κυτίον μὲ τὴν Κάραν τοῦ ἁγίου Φιλοθέου, ὡς ἡ ἐπιγραφὴ καὶ χρονολογία 1740. (**)

(*) Πρβλ. Κωνστάντιον Δουκάκην, Μέγας Συναξαριστὴς Ὀκτώβριος. Ἀθῆναι 1895, σελ. 369.

(**) «Ἴδε τὸ ἐμὸν πόνημα «αἱ ἱεραὶ μοναὶ τῆς Πίνδου». Ἀθῆναι 1929. σελ. 35.

Εἰς τὴν α΄ ᾠδὴν τοῦ κανόνος τοῦ Ὁσίου ἀναγράφεται ἐν αὐτῇ «τοῦ αὐτοῦ ἴδ ποίημα ἄνευ τῶν Θεοτοκίων». Ἐκ τούτων σαφῶς δηλοῦται ὅτι ἡ ἀκολουθία εἶναι ποίημα τοῦ γνωστοῦ ὑμνογράφου Ἰωσήφ, Ἀρχιμανδρίτου τῆς μεγάλης Ἐκκλησίας ὡς τιτλοφορεῖται, τοῦ ἐκ Φουρνᾶ τῶν Ἀγράφων περὶ τὰ μέσα τοῦ ΙΗ΄ αἰῶνος ἀκμάσαντος. Οὗτος ἀναφαίνεται ὡς διασκευάσας, συμπληρώσας καὶ ἐκδώσας τὰς ἀκολουθίας ἁγίου Σεραφεὶμ Ἀρχιεπισκόπου Φαναρίου, ἁγίου Βησσαρίωνος ἀρχιεπισκόπου Λαρίσης, ἁγίου Νικολάου τοῦ ἐν Βουνένοις, ἁγίου Βασιλείου Πρεσβυτέρου Ἀγκύρας, ἁγίων Ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ, ἦτο δὲ ἀδελφὸς τῆς παρακειμένης ἱερᾶς μονῆς Δουσίκου. (*) Ἡ ἀκολουθία εἶναι πλήρης, ἔχει δηλ. Μικρὸν καὶ Μέγαν Ἑσπερινόν, Λιτήν, Ὄρθρον, Συναξάριον, Τροπάρια εἰς τὴν ἁγίαν Κάραν διὰ τὸν Ἁγιασμὸν καὶ ἐν τέλει Ἐγκώμιον μὲ τὸν κατὰ πλάτος βίον τοῦ Ὁσίου. Τοῦτο τὸ ἐγκώμιον δημοσιεύεται μὲ ἐλαχίστας παραλαγὰς ἐν τῷ Συναξαριστῇ ὡς προαναφέρομεν.

Ἐκ τοῦ Συναξαριστοῦ μανθάνομεν ὅτι ὁ Ὅσιος Φιλόθεος, Μικρασιάτης τὴν καταγωγήν, ἐμόνασε τὸ πρῶτον ἐν Μακεδονίᾳ πλησίον τῆς Χρυσουπόλεως, μεταβὰς εἶτα εἰς Νεάπολιν. Πρόκειται ἀναμφιβόλως περὶ τῆς σημερινῆς κωμοπόλεως Σαρίσαμπὰν καὶ τῆς πόλεως Καβάλλας. Κατόπιν δὲ μετέβη εἰς τὴν ἐν Ἄθῳ ἱ. μονὴν Διονυσίου καὶ εἶτα εἰς τὴν ἔρημον τοῦ Ἄθω, ἀποθανὼν ἐν ἡλικίᾳ 84 ἐτῶν. Ἄγνωστον εἶναι πῶς ἡ ἁγία Κάρα τοῦ Φιλοθέου ἐξ Ἁγίου Ὄρους ἀπεθησαυρίσθη ἐν τῇ ἱερᾷ μονῇ Πέτρας τῶν Ἀγράφων, ἐξ οὗ καὶ συνετέθη ἡ Ἀκολουθία ὑπὸ τοῦ Ἀρχιμ. Ἰωσήφ.

Ὁ ἐκδότης τῆς παρούσης Ἀκολουθίας ἠρεύνησε μὴ τυχὸν ὑπάρχει ἐκδεδομένη ἢ χειρόγραφος Ἀκολουθία τοῦ ἁγίου Φιλοθέου, ἰδίως ἐν Ἁγίῳ Ὄρει ἔνθα ἠσκήτευσεν ὁ ἅγιος, ὡς ἐπληροφορήθη ὅμως ἔκ τε τοῦ Ἡγουμένου τῆς ἱερᾶς μονῆς Διονυσίου κὺρ Γαβριὴλ καὶ ἐκ τοῦ Γραμματέως τῆς ἱερᾶς μονῆς ἁγίου Παύλου μοναχοῦ κὺρ Θεοδοσίου, οὐδεμία ἀκολουθία τοῦ ἁγίου Φιλοθέου ἀνεφάνη ποτέ, ἐρευνηθέντων τῶν χειρογράφων κωδίκων τῶν μονῶν Διονυσίου καὶ Λαύρας. Μόνον εἰς χειρόγραφον βιβλίον τῆς ἱερᾶς μονῆς Διονυσίου ὑπάρχει ἡ βιογραφία τοῦ Ὁσίου, ἣν ἀπαραλλάκτως δημοσιεύει ὁ μακαρίτης ἐρανιστὴς καὶ ἐκδότης τοῦ δωδεκατόμου Συναξαριστοῦ μοναχὸς Κωνστάντιος Δουκάκης ὁ Προσκυνητής, ὁ διὰ τοῦ μεγάλου ἀγγελικοῦ σχήματος μετονομασθεὶς Κορνήλιος μοναχὸς Ἁγιορείτης.

Σημειωτέον ὅτι ὑπάρχει καὶ ἕτερος Ὅσιος Φιλόθεος Ἁγιορείτης, ἀσκητεύσας εἰς τὸ ἐν Καρυαῖς κελλίον τῶν Ἀρχαγγέλων τὸ ἐπιλεγόμενον τοῦ Γιάγαρη, ἑορταζόμενος τῇ 5ῃ Δεκεμβρίου, ἀναφερόμενος εἰς τὸν Συναξαριστὴν μὲ τὸν τύπον «τῇ αὐτῇ ἡμέρᾳ» στερούμενος καὶ οὗτος Ἀκολουθίας. Ὁμοίως ὑπάρχει καὶ ὁ παλαιὸς μάρτυς Φιλόθεος, ἑορταζόμενος τῇ 29ῃ Ἰανουαρίου ἀναφερόμενος ἐν τῷ Συναξαριστῇ καὶ ἐν τῷ Μηναίῳ.

Ἐκ πληροφορίας τοῦ Γέροντος προϊσταμένου καὶ Γραμματέως τῆς Μεγίστης Λαύρας τοῦ Ἁγίου Ἀθανασίου κὺρ Ἀλεξάνδρου, ἔγινε γνωστὸν ὅτι ὁ διαπρεπὴς ὑμνογράφος ὁ ἐν τῇ ἐρήμῳ τοῦ Ἁγίου Ὄρους ἀσκητεύων Γεράσιμος

(*) Ἴδε πρόλογον τῆς ἐμῆς ἐκδόσεως. «Ἀκολουθία τῶν ἁγίων Ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ», Ἀθῆναι 1933, σελ. 3.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

μοναχὸς Μικραγιαννανίτης, συνέταξεν Ἀκολουθίαν τοῦ Ὁσίου Φιλοθέου κατ' ἐντολὴν τοῦ Ἁγιαννανίτου μοναχοῦ Φιλοθέου, ἥτις ὅμως δὲν εἶδε τὸ φῶς τῆς δημοσιεύσεως.

Ἐκ τούτου ὁ Πρωτοσύγγελος κ. Λουκιανὸς, δημοσιεύει ὧδε τὴν Ἀκολουθίαν τοῦ Ὁσίου, ποίημα τοῦ Ἀρχιμανδρίτου τῆς μεγάλης Ἐκκλησίας Ἰωσὴφ τοῦ ἐκ Φουρνᾶ, ἣν ἀνεῦρεν ἐν τῇ διαλελυμένῃ Ἱερᾷ μονῇ Πέτρας τῶν Ἀγράφων, πρὸς διάσωσιν ἔργου ἑνὸς λογίου κληρικοῦ ὑμνογράφου τῶν παρελθόντων χρόνων.

Τὸ δὲ χειρόγραφον πρὸς διάσωσιν ἀπεστείλαμεν εἰς τὴν ἱερὰν μονὴν Διονυσίου τοῦ Ἄθωνος ἔνθα τὸν ἀσκητικὸν διῆλθε βίον ὁ ἀοίδιμος.

Ἐν Καρδίτσῃ,

† Ὁ ΘΕΣΣΑΛΙΩΤΙΔΟΣ ΙΕΖΕΚΙΗΛ

ΑΝΤΙ ΠΡΟΛΟΓΟΥ

Δημοσιεύων τὴν ἀνέκδοτον Ἀκολουθίαν τοῦ Ὁσίου Πατρὸς ἡμῶν Φιλοθέου τοῦ Ἁγιορείτου κατὰ προτροπὴν τοῦ ἐμοῦ Γέροντος Σεβ. Μητροπολίτου Θεσσαλιώτιδος κ. Ἰεζεκιήλ, ἣν ἀνεῦρον κατά τινα ἐκδρομήν μου ἐν τῇ διαλελυμένῃ Ἱερᾷ Μονῇ Πέτρας τῶν Ἀγράφων, συνοδεύων τὸν Σεβ. Μητροπολίτην μετὰ τοῦ Βυζαντινολόγου Καθηγητοῦ τοῦ Πανεπιστημίου κ. Α. Ὀρλάνδου, ἐκφράζω θερμὰς εὐχαριστίας εἰς τὸν Καθηγούμενον τῆς Ἱερᾶς Μονῆς Διονυσίου κ. Γαβριὴλ, ἔνθα ἠσκήτευσεν ὁ ἀοίδιμος, εἰς τὸν Γέροντα Προϊστάμενον τῆς Μεγίστης Λαύρας κ. Ἀλέξανδρον, εἰς τὸν Βηματάρην τῆς Ἱερᾶς Μονῆς Βατοπαιδίου κ. Φιλόθεον, ἔνθα συχνὰ εἶχε τὰς διατριβάς του ὁ ὅσιος καὶ ἰδιαιτέρως εἰς τὸν Γραμματέα τῆς Ἱερᾶς Μονῆς Ἁγίου Παύλου Μοναχὸν κὺρ Θεοδόσιον δι' ὅσας πληροφορίας εὐηρεστήθησαν προθύμως νὰ μοὶ δώσωσιν, ἀπαντῶντες εἰς ἰδικά μου ἐρωτήματα.

Ὑποβάλλω δὲ καὶ τὰς ἐμὰς εὐχαριστίας εἰς τὸν Γέροντά μου Σεβ. Μητροπολίτην κ. Ἰεζεκιὴλ, εὐαρεστηθέντα νὰ προλογίσῃ τὴν ἐμὴν ἔκδοσιν.

Τὴν ἔκδοσιν τῆς Ἀκολουθίας ταύτης ἐθεώρησα χρήσιμον, ἵνα περισωθῇ πόνημα ἑνὸς λογίου Ἁγιορείτου κληρικοῦ, ὅπερ ἐποίησεν, ἐπειδὴ τελεῖται ἡ σεβασμία μνήμη κατ' ἔτος τοῦ Ὁσίου Φιλοθέου ἐν τῇ Ἱερᾷ τῆς Ὑπεραγίας Θεοτόκου Μονῇ, Πέτρας ἐπικεκλημένῃ, ἐν τοῖς τῶν Ἀγράφων ὄρεσιν ἐν ᾗ καὶ σεβασμίως ἀπόκειται ἡ χαριτόβρυτος τούτου κάρα, εὐωδίας ἀρρήτου καὶ ἰάσεων ψυχικῶν καί σωματικῶν πληροῦσα τοὺς πίστει προσιόντας αὐτῇ, καίτοι ὁ γνωστὸς τοῦ Ἁγίου Ὄρους ἐμπνευσμένος Ὑμνογράφος ἐν τῇ ἐρήμῳ ἀσκούμενος καὶ περὶ τοιαῦτα διαπρέπων, Γεράσιμος ὁ Μικραγιαννανίτης Μοναχός, ἀγνοῶν τὴν ὕπαρξιν τῆς Ἀκολουθίας τοῦ Ἰωσὴφ, νεωτέραν συνέθετο, μὴ ἰδοῦσαν ἔτι τὸ φῶς τῆς δημοσιότητος. (*)

Ἐν Καρδίτσῃ

Ἀρχιμ. Λουκιανὸς

Ἁγιοπαυλίτης Πρωτοσύγκελλος.

(*) Τοῦ Ὁσιωτάτου μοναχοῦ Γερασίμου Μικραγιαννανίτου ἐδημοσίευσα ἔναγχος συντεθέντα ὑπ' αὐτοῦ Κανόνα Ἱκετήριον πρὸς τὴν Ὑπεραγίαν Θεοτόκον ἐπὶ τῇ ἐπιδρομῇ ἐχθρῶν κατὰ τοῦ εὐσεβοῦς ἡμῶν Ἔθνους μὲ ἡμέτερον πρόλογον. (Ἐν Καρδίτσῃ 1941).

ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Ἱστῶμεν στίχους δ΄. καὶ ψάλλομεν στιχηρὰ προσόμοια.

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων

Δεῦτε πιστοὶ συνελθόντες, ᾠδαῖς τιμήσωμεν, Φιλόθεον τὸν θεῖον, ἐξασκήσαντα ὄντως, ἐν ὄρει τῷ τοῦ Ἄθῳ καὶ πρὸς Θεόν, τὰς πορείας ποιήσαντα. Ὅθεν τῷ θρόνῳ τῷ θείῳ παρεστηκώς, ἱκετεύει τοῦ σωθῆναι ἡμᾶς.

Τῶν μοναζόντων ὁ θίασος, νῦν σκιρτήσατε, ἐπὶ τῇ θείᾳ μνήμῃ, τοῦ σεπτοῦ Φιλοθέου, οὗτος γὰρ μισήσας τὰ γεηρά, ἐκ παιδὸς ἐπεπόθησε, τὴν οὐρανῶν βασιλείαν, ἧς τῆς τρυφῆς, ἀπολαύειν κατηξίωται.

Σὺ τὴν σεπτὴν τρίβον πάτερ, ἀληθῶς ὡδευσας, καὶ πλάτος Παραδείσου, ἔφθασας θεοφόρε, Φιλόθεε καὶ χαίρεις συγκατοικῶν, σὺν ἀγγέλων στρατεύμασι· μεθ' ὧν δυσώπει ἀπαύστως ὑπὲρ ἡμῶν, τῶν πιστῶς ἑορταζόντων σε.

Δόξα. Ἦχος δ΄.

Πνευματικὴν χορείαν στήσατε· σήμερον μονάζοντες ἐν τῇ θείᾳ μνήμῃ τοῦ θεοφόρου Φιλοθέου· οὗτος γὰρ πτερνίσας τὴν φάλαγγα τοῦ παλαιοῦ πτερνιστοῦ, τὰς δεινὰς αὐτοῦ μηχανουργίας καθεῖλε, δι' ἀσκήσεως αὐτοῦ, τὴν ψυχὴν προωραΐσας, ὃς καὶ πρεσβεύει ἐκτενῶς τῷ Κυρίῳ τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου φύλαττε εὐλογημένη Θεοτόκε, ἵνα σὲ δοξάζωμεν τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸν στίχον

Ἦχος β΄. Οἶκος τοῦ Εὐφραθᾶ

Ὤφθης σὺ ἐκ παιδός, ἀστὴρ οἷα ἐκλάμπων, Φιλόθεε καὶ οἶκος, ἡγιασμένος πάτερ, τοῦ Παναγίου Πνεύματος.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος...

Δόλους τῶν μυσαρῶν, δαιμόνων στηλιτεύσας, τῇ τοῦ Σταυροῦ ἰσχύϊ, ἐτρόπωσας τὴν δόξαν, Χριστοῦ μάκαρ Φιλόθεε.

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος...

Μάκαρ σου τὴν ψυχήν, ἐκάθηρας ἀσκήσει· καὶ συνεκράθης ὅλως, ἀμέσως τῇ Τριάδι, Φιλόθεε σεβάσμιε.

Δόξα. Καὶ νῦν. Θεοτοκίον ὅμοιον

Ἄνω σε οἱ χοροί, Παρθένε Θεοτόκε, ὑμνοῦσι σὺν τοῖς κάτω, δοξάζοντες ἀπαύστως, τὸν τόκον σου τὸν ἄχραντον.

Τὸ νῦν ἀπολύεις. Τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον, ζήτει εἰς τὸν μέγαν ἑσπερινόν.

Καὶ ἀπόλυσις.

ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸ Μακάριος ἀνήρ. Εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους η΄. καὶ ψάλλομεν στιχηρὰ προσόμοια δ΄.

Ἦχος α΄. Ὁ ἐξ ὑψίστου κληθεὶς

Ὁ τὸν Χριστὸν ὑπὲρ πᾶν ἄλλο ποθήσας, καὶ ἔξω γενόμενος τοῦ κόσμου ὅσιε, ἐξ ἀπαλῶν τῶν ὀνύχων σου, Θεῷ ἠνώθης, καὶ ὅλως ὅλον σαὐτὸν ἐκδέδωκας, τούτῳ παμμακάριστε πάτερ Φιλόθεε. Ὅθεν καὶ χαίρων ἀνέδραμες, πρὸς τὸν Δεσπότην, οὗπερ τοῖς ἴχνεσιν ἠκολούθησας, πάντως δὲ ἔδει ὡς ἐζήτησας, ἀθάνατον καλεῖν τῇ ἀσκήσει σου, ἀπολαύεις καὶ λάμπεις, ἀστὴρ οἷα παμφαέστατος. Δὶς

Ὁ μηχανὰς τῶν δαιμόνων ἀφανίσας, καὶ τούτων τῇ χάριτι τοῦ θείου Πνεύματος, κακίαν τε καὶ τὴν ἔνεδραν, εἰς τέλος λύσας, ταῖς ἀρεταῖς

Athos Library
Αγιορειτική Βιβλιοθήκη

σου μάκαρ Φιλόθεε· καὶ θείαις λαμπρότησι καταυγαζόμενος, τὸν κόσμον ὅλον κατηύγασας, φωτὶ ἐνθέῳ, φωστὴρ γενόμενος ἀξιάγαστε, καὶ ἀσθενούντων δοκιμώτατος καὶ σεπτὸς ἰατρὸς καὶ ἀρχέτυπος χαρακτὴρ ἐναρέτου, ἀγωγῆς ἥσπερ ἐπόθησας. δὶς

Ὁ θεωρίᾳ καὶ πράξει διαυγάσας, σοῦ μὲν ὁ ἰσάγγελος βίος κανὼν ἀρετῆς, καὶ χαρακτὴρ ἀκριβέστατος, τῶν ἐθελόντων, Θεῷ λατρεύειν ἐν τελειότητι, ὁ σὸς δὲ θεόσοφος λόγος Φιλόθεε, Τριάδα σέβειν ἡρμήνευε, Χριστὸν δὲ ἕνα, ἐν δύο φύσεσι γνωριζόμενον, ᾧ καὶ ἡνώθης ἀχωρίστως, τῷ αὐτοῦ πόθῳ τρωθεὶς παμμακάριστε, νῦν οὖν αἴτησαι πᾶσι, σωτηρίαν τοῖς τιμῶσί σε. δὶς

Εἱλικρινὴς ὢν ψυχῇ τε καὶ καρδίᾳ, Ἀγγέλοις ἐφάμιλλος βροτὸς οὐράνιος, τῆς σωφροσύνης διδάσκαλος, καὶ ἐγκρατείας, ἀκριβεστάτη πλάστιγξ Φιλόθεε· οἰκῶν τῷ Δεσπότῃ σου, καὶ τὴν ἀσίγητον, ὑμνολογίαν πανόλβιε, σὺν τοῖς Ἀγγέλοις, καὶ τοῖς ὁσίοις πᾶσι καὶ μάρτυσι, τούτῳ προσφέρων τοὺς τελοῦντάς σου, τὴν ἱερὰν μνήμην πάντοτε, ἐκ παντοίων κινδύνων, καὶ πταισμάτων ἐλευθέρωσον. δὶς

Δόξα. Ἦχος πλ. β.

Σήμερον ἐξέλαμψεν ἀδελφοί, ἡ παμφαὴς μνήμη, τοῦ ἐν ἀσκήσει διαλάμψαντος Φιλοθέου· σήμερον τὰ τῶν ὁσίων τάγματα, ἐν οὐρανῷ καὶ ἐπὶ γῆς, τῷ ὁμοτρόπῳ αὐτῶν συναγάλλονται χαρμοσύνως, νηπιόθεν δὲ νεκρώσας τὴν σάρκα σὺν τοῖς παθήμασι, τὴν κεφαλὴν τοῦ δράκοντος, ἐτροπώσατο, καὶ τὰς αὐτοῦ μηχανουργίας καθεῖλεν, ἀνύστακτον ἔχων τὸ ὄμμα πρὸς τὸν Δεσπότην, ὅνπερ ἐπόθησεν, ᾧ καὶ ἠκολούθησε, δόκιμος αὐτοῦ ἐραστὴς γενόμενος, ᾧ καὶ πρεσβεύει ὑπὲρ ἡμῶν, τῶν τελούντων τὴν πανέορτον μνήμην του.

Καὶ νῦν. Θεοτοκίον

Τίς μὴ μακαρίσει σε Παναγία Παρθένε; τίς μὴ ἀναμνήσει σου, τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας υἱὸς Μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν ἀφράστως σαρκωθείς. φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς· οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων ἀσυγχύτως γνωριζόμενος, αὐτὸν ἱκέτευε, Σεμνὴ παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος. Φῶς ἱλαρόν. Τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ ἀναγνώσματα.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα

Κεφ. Γ'. 1 Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος, ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα, οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσι, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ, ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καὶ κρατήσωσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα

Κεφ. Ε'. 16 Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου, ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτοὺς καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ρομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπῶν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρης ριφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλεισουσιν ἀποτόμως· ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαίλαψ ἐκλικμήσει αὐτούς· καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα

Κεφ. Δ'. 7 Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη· Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ, διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

Ἰδιόμελα ἦχος α'.

Πνευματικοῖς ἄσμασι πιστοὶ σήμερον, τὸν ἀσκητὴν τοῦ Κυρίου λαμπρῶς εὐφημήσωμεν, Φιλόθεον τὸν σεβάσμιον, οὗτος γὰρ ἐν τῇ τῶν δακρύων αὐτοῦ ῥοῇ, τῶν παθῶν τὰς προσβολὰς ἀπήμβλυνεν, εὐσεβείας γεννήματα ἐν αὐτῷ ἐνδεξάμενος. Ὅθεν καὶ ἐν τούτοις ἵσταται τὰς ἀσθενείας τῶν παθῶν, τῶν πίστει προστρεχόντων αὐτῷ, καὶ σὺν πόθῳ βοώντων· χαίροις μοναζόντων λαμπτὴρ φαεινότατε, χαίρεις ἀοίδιμε ὁ τὴν Πανάχραντον Θεοτόκον, ἐν εἴδει τὸ τῆς μητρός σου σαφῶς θεασάμενος, χαίρεις τῶν πλανωμένων ὁδηγὸς σωτηρίας, χαίρεις τὸ τοῦ ἀγιωνύμου ὄρους τὸ σεπτὸν καύχημα, καὶ πάντων ἡμῶν ἀγαλλίαμα.

Ἦχος β'.

Τῶν ὑλικῶν πραγμάτων κατημέλησας, πατὴρ ἡμῶν Φιλόθεε ὅτι τὴν ἄνω πατρίδα ἐπεπόθησας. Κόσμον ἐβδελύξω τὴν ἡσυχίαν ἀσπασάμενος, τρυφὴν ἐμίσησας καὶ τὴν νηστείαν ἐτίμησας καὶ πάσῃ ἰδέᾳ ἀρετῆς σεαυτὸν κατεκόσμησας, διὸ πάτερ ὅσιε μνημόνευε καὶ ἡμῶν, ἵνα εὕρωμεν λύ-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

σιν παρὰ Χριστοῦ, τῶν ἀμετρήτων σφαλμάτων ἡμῶν.

Ἦχος β΄.

Τὸν ἐπὶ γῆς ἰσάγγελον βίον ζήσαντα καὶ ἐν οὐρανῷ ὑπάρχοντα ἄνθρωπον Θεοῦ, τῶν μοναστῶν τὴν εὐπρέπειαν καὶ τῶν ἀγαθῶν τὴν ἀπόλαυσιν, Φιλόθεον τιμήσωμεν. Οὗτος γὰρ ἀπὸ βρέφους τὴν ἀρετὴν ἐπιμελῶς ἀσκήσας, σκεῦος ἐχρημάτισε τοῦ ἁγίου Πνεύματος, καὶ παρ᾽ αὐτοῦ λαβὼν τῶν θαυμάτων τὴν δύναμιν· ἐπιβραβεύεται ταύτην τοῖς πίστει προστρέχουσι. Νῦν δὲ τῷ θείῳ φωτὶ λαμπρότερον ἐλαμπόμενος, καταφωτίζεις ἡμῶν τὰς διανοίας, καὶ πρεσβεύεις ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα. Ἦχος δ΄.

Ἠύγασαν αἱ ἀρεταί σου ὡς ἥλιος, ἐπὶ τῆς γῆς καὶ ἐν οὐρανῷ Χριστοῦ θεράπων Φιλόθεε, τῇ ἀσκήσει γὰρ ἀρίστως δοκιμασθεὶς ὡς χρυσὸς ἐν καμίνῳ, κανὼν ἐγένου τοῖς μετὰ σὲ θεσπέσιε, τὴν σταυροφόρον ζωὴν ἑλομένοις, ἀλλὰ καὶ νῦν τῶν ἀσκητικῶν σου πόνων μὴ διαλείπῃς, τὸν ἐλεήμονα Χριστὸν ἵνα σώσῃ τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Ἦχος ὁ αὐτὸς

Θεοτόκε Παντάνασσα, τῶν ὀρθοδόξων τὸ καύχημα, αἱρετικῶν τὰ φρυάγματα, καὶ τὰ πρόσωπα καταίσχυνον, τῶν μὴ προσκυνούντων μηδὲ τιμώντων Πάναγνε τὴν σεβάσμιον εἰκόνα σου.

ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ

Στιχηρὰ προσόμοια

Ἦχος πλ. α΄.

Χαίροις ἀσκητικῶν ἀληθῶς

Χαίροις ὁ τῶν παθῶν τὰς ὁρμάς, ἐν τῇ τῶν σῶν δακρύων στησάμενος, καὶ ὡς πνεῦμα καθηγήσει, προσαγαγὼν τῷ Θεῷ, καὶ τοὺς εὐσεβείας ἐνδεξάμενος, οὐδόλως γὰρ ἔδωκας νυσταγμὸν τοῖς βλεφάροις σου· ἕως οὗ ὤφθης, παραδείσου συμμέτοχος καὶ ἀπήλαυσας ἀμοιβῶν τῶν καμάτων σου. Ὅθεν καὶ νῦν σκηνῶν Χριστῷ, ἀγάλλῃ Φιλόθεε, καὶ σὺν ἀγγέλοις χορεύεις, τὰς ἱκεσίας ποιούμενος, ἐφ᾽ ᾧ δωρηθῆναι, ταῖς ψυχαῖς ἡμῶν εἰρήνην καὶ μέγα ἔλεος.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος...

Βίον ἡ Θεοτόκος τὸν σόν, προορωμένη ἁγιώτατον ἔσεσθαι, ἐν εἴδει μητρός σου ὤφθη, ἐν ᾗ κατώκεις, φρουρᾷ, φάσκουσα ἐγείρου σὺν ὁμαίμονι, ἐμοὶ δὲ ὡς τάχιστα, συνεπόμενοι γίνεσθαι. Τότε πλησθέντες ἀμυθήτου τῆς τέρψεως τῷ ναῷ αὐτῆς, ἐνοικεῖν ἠξιώθητε, ᾧ καθαρῶς δουλώσαντες, Πατέρες Μακάριοι, καὶ ἀδελφοὶ συμφρονοῦντες, Χριστῷ πρεσβεύειν ποιεῖτε νῦν, ἐφ᾽ ᾧ δωρηθῆναι, ταῖς ψυχαῖς ἡμῶν εἰρήνην καὶ μέγα ἔλεος.

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος...

Χαίροις ταῖς τῶν Ἀγγέλων οἰκῶν, χοροστασίαις ἐν ὑψίστοις Φιλόθεε, τὸν βίον γὰρ τούτων πάτερ, ἐπὶ τῆς γῆς κατοικῶν, ἀρετὴν ἀσκήσας πεπολίτευσαι, δειχθεὶς διαυγέστατον καὶ ἀρρύπωτον ἔσοπτρον, λαμπρὰς τῷ ὄντι, τὰς αὐγὰς εἰσδεχόμενον, τὰς τοῦ Πνεύματος τοῦ ἁγίου πανόλβιε, ὅθεν καταστραπτόμενος, διέλαμψας ὡς φωστήρ, σὺν τοῖς τρισὶ μαθηταῖς σου, Χριστῷ πρεσβεύων ἑκάστοτε, ἐφ᾽ ᾧ δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν εἰρήνην καὶ μέγα ἔλεος.

Δόξα. Ἦχος πλ. δ΄.

Τῶν μοναστῶν τὰ πλήθη, τὸν θεῖον Φιλόθεον χαρμονικῶς εὐφημήσωμεν. Καὶ γὰρ οὗτος ἐν μέσῳ ἡμῶν ὡς ἀστὴρ φαεινὸς ἀναδέδεικται, τήξας τὴν σάρκα καὶ νεκρώσας τὸ φρόνημα, μὴ προσχὼν τὸ σύνολον τοῖς ματαίοις· διὸ καὶ γερῶν ἀθανάτων ἠξίωται, παρὰ τοῦ ἀθλοθέτου Χριστοῦ, εἰπόντος αἰτεῖτε καὶ λήψεσθε, ᾧ καὶ πρεσβεύει ἀδιαλείπτως, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον ὁ αὐτὸς

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί, μήτηρ Θεοῦ τοῦ Ὑψίστου, σῶν ἱκετῶν παρακλήσεις δέχου Πανάμωμε, ἡ πᾶσι χορηγοῦσα καθαρισμὸν τῶν πταισμάτων, νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

Τὸ Νῦν ἀπολύεις τὸν δοῦλόν σου καὶ τὸ

Ἀπολυτίκιον

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης

Παρρησίαν ἐκτήσω πρὸς Θεὸν τῇ ἀσκήσει σου, καὶ ὑπὲρ τοῦ κόσμου πρεσβεύεις, θεοφόρε πατὴρ ἡμῶν Φιλόθεε· νηστείαις, ἀγρυπνίαις, προσευχαῖς, ἰάσεων χαρίσματα λαβών, θεραπεύεις ἀσθενοῦντας, καὶ τὰς ψυχὰς τῶν πίστει δεομένων σου. Δόξα τῷ παρασχόντι σοι ἰσχύν, δόξα τῷ λαμπρῶς σε στέψαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.

Δόξα τὸ αὐτό. Καὶ νῦν Θεοτοκίον

Τοῦ Γαβριὴλ φθεγξαμένου σοι Παρθένε τὸ Χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων Δεσπότης, ἐν σοὶ τῇ ἁγίᾳ Κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαΐδ· ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τὸν Κτίστην σου. Δόξα τῷ ἐνοικήσαντι ἐν σοί· δόξα τῷ προελθόντι ἐκ σοῦ· δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς διὰ τοῦ τόκου σου.

ΕΙΣ ΤΟΝ ΟΡΘΟΡΝ

Μετὰ τὴν α΄. στιχολογίαν κάθισμα

Ἦχος πλ. δ΄. Τὴν σοφίαν καὶ λόγον

Ἀσπαζόμενος πόνους καὶ προσευχὰς τὴν ψυχήν σου ἐκόσμησας θαυμαστῶς, καὶ γέγονος ἐφάμιλλος τῶν Ἀγγέλων ἀοίδιμε· καὶ θαυμασίων ὄντως δωρήματα ἔλαβες, τοῦ ἰᾶσθαι τὰς νόσους, τῶν πίστει τιμώντων σε· ὅθεν ἀπελαύνεις τῶν δαιμόνων τὰ στίφη, ἐφ᾽ ᾧ ἐπολέμησας καὶ οὐδόλως κεκοίμησαι, θεοφόρε Φιλόθεε, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Δόξα τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον

Τὴν σοφίαν καὶ λόγον ἐν σοὶ γαστρί, συλλαβοῦσα ἀφλέκτως μήτηρ Θεοῦ, ἀφράστως ἀπεκύησας, τὸν τὰ πάντα ποιήσαντα, καὶ ἐν ἀγκάλαις ἔσχες τὸν πάντα κατέχοντα· καὶ ἐκ μαζῶν ἐθήλασας τὸν κόσμον ἐκτρέφοντα· ὅθεν δυσωπῶ σε Παναγία Παρθένε, ρυσθῆναι πταισμάτων μου, ὅταν μέλλω παρίστασθαι πρὸ προσώπου τοῦ κτίστου μου. Δέσποινα Παρθένε ἁγνή, τὴν σὴν βοήθειαν τότε παράσχου μοι, καὶ γὰρ δύνασαι ὅσα θέλεις Πανάχραντε.

Μετὰ τὴν β΄. Στιχολογίαν. Κάθισμα.

Ἦχος πλ. α΄. Τὸν συνάναρχον λόγον.

Φιλοθέου τὴν μνήμην πιστοὶ τιμήσωμεν, ὡς νεκρώσαντος πάσας τὰς προσβολὰς τῶν παθῶν, ἐν εὐφροσύνῃ καὶ στερρᾷ καρτερίᾳ ἀτεχνῶς, καὶ καταισχύναντος σοφῶς, τὸν ἀντίπαλον ἐχθρόν, καὶ νῦν πρεσβεύει Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον ὅμοιον

Χαῖρε πύλη Κυρίου ἡ ἀδιόδευτος, ἣν προεκήρυξαν πάντες οἱ δικαιό-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

τατοι, καὶ προφήτης Δανιὴλ ὄρος ἀλάξευτον, καὶ Δαυὶδ ὁ μελῳδὸς σὺν Μωϋσεῖ καὶ τοῖς λοιποῖς, βάτον καὶ στάμνον καὶ ῥάβδον, νεφέλην, πύλην καὶ θρόνον, καὶ μέγα ὄρος ἀναδειχθεῖσαν ἡμῖν.

Μετὰ τὸν πολυέλεον. Κάθισμα

Ἦχος πλ. δ.΄ Τὴν σοφίαν καὶ λόγον .

Τῷ τοῦ Ἄθωνος ὄρει παραβαλών, κακουχίαις τε πάσαις ἐγκαρτερῶν, νόσον ὑποκέκρισαι, παμμακάριστε ὅσιε, καὶ τῆς γλώττης ἐκράτεις τοῦ μὴ ὅλως φθέγγεσθαι, καὶ κωφὸς γενόμενος ἑκούσιως ἔνδοξε, ὄντως παρηκούσω ἑδελυξάμενος πάτερ, τὰς πράξεις τοῦ πονηροῦ ὡς ἀθλίως σοφίζεται, τοὺς καλῶς μὴ προσέχοντας, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Δόξα. Ἦχος δ.΄ Ἐπεφάνης σήμερον

Τῇ ἀγάπῃ ὅσιε, τῇ τοῦ Δεσπότου, τετρωμένος ἔκραζες, μάκαρ Φιλόθεε θερμῶς, Χριστέ μου πάντας διάσωζε, τοὺς φοβουμένους τὸ θεῖόν σου ὄνομα.

Καὶ νῦν. Θεοτοκίον ὅμοιον

Ἐπελεύσει Πνεύματος τοῦ Παναγίου, τοῦ Πατρὸς τὸ σύνθρονον καὶ ὁμοούσιον φωνῇ, Ἁγνὴ ἀγγέλου συνέλαβες, θεοκυῆτορ Ἀδὰμ ἡ ἀνάκλησις.

Οἱ ἀναβαθμοὶ τὸ πρῶτον ἀντίφωνον τοῦ δ΄ ἤχου.

Προκείμενον Ἦχος δ΄,

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Στίχ. Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ

Τὸ πᾶσα πνοή. Καὶ τὸ Εὐαγγέλιον

Ἐκ τοῦ κατὰ Ματθαῖον

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς. Πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου, καὶ οὐδεὶς ἐπιγινώσκει τὸν υἱόν, εἰμὶ ὁ Πατήρ, οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει εἰ μὴ ὁ υἱός, καὶ ᾧ ἐὰν βούλεται ὁ υἱὸς ἀποκαλύψαι. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. Ἄρατε τὸν ζυγόν μου ἐφ' ἡμᾶς, καὶ μάθετε ἀπ' ἐμοῦ ὅτι πρᾴός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ἡμῶν, ὁ γὰρ ζυγός μου χρηστὸς καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστι.

Ὁ Ν΄. Ψαλμός. Δόξα ταῖς τοῦ σοῦ ὁσίου. Καὶ νῦν ταῖς τῆς Θεοτόκου.

Στίχ. Ἐλέησόν με ὁ Θεὸς καὶ τὸ ἰδιόμελον.

Ἦχος πλ. β΄.

Ὅσιε πάτερ, εἰς τὴν ὑφήλιον πᾶσαν, ὁ σὸς βίος ἐξέλαμψε, καὶ τῶν πιστῶν τὰς καρδίας ἐφαίδρυνε, πρὸς ἐργασίαν ἀρετῶν αὐτοὺς διεγείρας, ὡς ἔχων οὖν πρὸς Κύριον παῤῥησίαν, Φιλόθεε, πρέσβευε δ' ἐκτενῶς ὅπως εὕρωμεν ἔλεος ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως.

Ὁ ἱερεύς. Σῶσον ὁ Θεὸς τὸν λαόν σου. κλπ.

Οἱ κανόνες τῆς Θεοτόκου μετὰ τῶν εἱρμῶν εἰς στ΄ καὶ τοῦ ἁγίου εἰς η΄.

Ὁ κανὼν τῆς Θεοτόκου ἦχος πλ. δ΄

Ὠδὴ α΄. Ὁ εἱρμός.

» Ἁρματηλάτην Φαραὼ ἐβύθισε τε-
» Ἀρατουργοῦσά ποτε, Μωσαϊκὴ ῥά-
»βδος, σταυροτύπως πλήξασα, καὶ διε-
»λοῦσα θάλασσαν, Ἰσραὴλ δὲ φυγάδα,
»πεζὸν ὁδίτην διέσωσεν, ᾆσμα τῷ Θεῷ
»ἀναμέλποντα. δὶς

Τὸ Θεοτόκον σε κηρύττειν ἄχραντον πάσης αἱρέσεως, ἀποτροπὴν φέρει, σάρκα γὰρ γενόμενον, ἀναλλοιώτως ἔτεκες, τὸν ἐπέκεινα πάσης θεογενήτορ τῆς κτίσεως, Λόγον τοῦ Θεοῦ τὸν ἀΐδιον.

Ὡς Θεοῦ μήτηρ παῤῥησίαν ἔχουσα πρὸς τὸν τεχθέντα ἐκ σοῦ, Μονογενῆ Λόγον, καὶ τὸν πρὶν συνάναρχον, καὶ συμφυῆ τῷ Πνεύματι, δυσωποῦσα μὴ παύσῃ, κινδύνων σῶσαι πανάμωμε, τοὺς σὲ Θεοτόκον δοξάζοντας.

Σὲ Θεομῆτορ προστασίαν ἔχοντες σοὶ δειλιάσωμεν, τὸ τῶν ἐχθρῶν στίφος, τὸν ἀντιμαχόμενον, τοῖς εὐσεβῶς δοξάζουσι, τὸν ἐκ σοῦ σαρκωθέντα, Θεὸν τῶν ὅλων καὶ Κύριον, ὃν ὑπὲρ ἡμῶν ἐκδυσώπησον.

Νοῦς καὶ οὐράνιον τὸ σὸν μυστήριον τὸ ἀκατάληπτον, κατανοεῖν ὄντως, ἀτονεῖ πανύμνητε, τοῦ Πατρὸς γὰρ ὁ σύνθρονος, ἐν γαστρί σου σκηνώσας, ἐκ σοῦ τεχθῆναι ηὐδόκησε, φύσεσι διταῖς γνωριζόμενος.

Ὁ κανὼν τοῦ ὁσίου, ἦχος ὁ αὐτὸς

Τοῦ αὐτοῦ Ἰωσὴφ ποίημα ἄνευ τῶν Θεοτοκίων.

Ὠδὴ α΄. Ἁρματηλάτην Φαραὼ

Ἔχρῆν με ἔχεις πάτερ γλῶσσαν ἔμουσον καὶ χείλη ὡς ἀληθῶς, εὔλαλα καὶ οὕτως, ἐξειπεῖν Φιλόθεε, τὸ καθαρὸν τοῦ βίου σου, καὶ τοὺς πόνους οὓς ἔτλης, ἐν τῇ ἀσκήσει μακάριε, ὑπὲρ τῆς ἀγάπης τοῦ Κτίστου σου.

Ἐξ ἀπαλῶν σου τῶν ὀνύχων ὅσιε καὶ τὴν ὁδὸν ἀρετῆς, ὥδευσας ἐνθέως, ἐντολαῖς πειθόμενος, ταῖς τοῦ Χριστοῦ πανόλβιε, καὶ ἐδείχθης ἐργάτης, αὐτῶν πιστός τε καὶ δόκιμος, ὅθεν καὶ ἀξίως τετίμησαι.

Ὀχυρωμένος ὢν τὸν νοῦν Φιλόθεε φόβῳ Χριστοῦ ἀληθῶς, οὐκ ἐκάμφθης ὅλως, πρὸς τὰς τοῦ ἀλάστορος, ἐφόδους ἀλλ' ἀντέκρουσας, γενναιότατα τοῦτον, ματαίως κατεπαιρόμενον, καὶ καταβαλεῖν σε πειρόμενον.

Τῷ ἀνικήτῳ τοῦ Σταυροῦ ὁπλῳ καλῶς στηριχθείς, ἐξήρανας πάντας, τοὺς τῆς ἀνομίας σύ, χειμάρρους καὶ πεπάτικας, τῆς τρυφῆς τὸν χειμάρρουν καὶ παραδείσου τοῦ ἐνθέου, μάκαρ τὴν πηγὴν τὴν ἀθάνατον.

Θεοτοκίον

Δεδοξασμένα περὶ σοῦ λελάληνται ἐν γενεαῖς γεννεῶν, ἡ τὸν Θεὸν Λόγον, ἐν γαστρὶ χωρήσασα, Ἁγνὴ δὲ διαμείνασα, Θεοτόκε Παρθένε, διό σε πάντες γεραίρομεν, τὴν μετὰ Θεὸν προστασίαν ἡμῶν.

Καταβασία. Ἀνοίξω τὸ στόμα μου

Ὠδὴ γ΄. Ὁ εἱρμὸς

» Ὁ στερεώσας κατ' ἀρχάς, τοὺς οὐ-
» ρανοὺς ἐν συνέσει, καὶ τὴν γῆν ἐ-
»πὶ ὑδάτων ἑδράσας, ἐν τῇ πέτρᾳ με
»Χριστέ, τὴν Ἐκκλησίαν στήριξον, ὅτι
»οὐκ ἔστι πλήν σου, ἅγιος μόνε φιλάν-
»θρωπε. (δίς)

Νενεκρωμένον μου τὸν νοῦν, τῇ τῆς ζωῆς ἐνεργείᾳ, τῆς ἐκ σοῦ φανερωθείσης τῷ κόσμῳ, διανάστησον οὐλὰς καὶ τύπους ἐξαλείφουσα, τῆς ἁμαρτίας μόνη, Θεοχαρίτωτε Δέσποινα.

Ῥήσεις τῶν θείων προφητῶν, καὶ τὰς αὐτῶν προφητείας, ἐπεσφράγισας τεκοῦσα τὸν Λόγον, τὸν λαλοῦντα δι' αὐτῶν, καὶ τὰς αὐτῶν πληρώσαντα, θεηγορείας μόνη, εὐλογημένη Πανάμωμε.

Ἀπειρογάμως ἐκ Πατρός, τὸν πρὸ αἰώνων ἀῤῥάστως, ἐν γαστρί σου συλλαβοῦσα Παρθένε, ἀπεγέννησας ἡμῖν, Θεὸν ὁμοῦ καὶ ἄνθρωπον, ἐν τῇ φύσῃ τέλειον οὐ διαιρούμενον.

Σοῦ τὴν ἁγίαν ὁ Θεός, γαστέρα κατασκηνώσας, ἐσαρκώθη Θεομῆτορ ὡς οἶδε, καὶ διέσωσεν ἡμᾶς, τοῖς ζωηφόροις πάθεσιν, ὅθεν σε σωτηρίαν, πύλην Παρθένε γινώσκομεν.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Τοῦ ἁγίου, ὁ αὐτὸς

Τίς ἐκδυνήσεται εἰπεῖν, Φιλόθεε τοὺς ἀγῶνας, καὶ ἱδρῶτας τῆς ἀσκήσεως πάτερ, οὓς ὑπέφερες στερρῶς, ἐν ὑπομονῇ σε ἤγαγεν, ἡ πάναγνος τεκοῦσα, τὸν λυτρωτὴν καὶ Θεὸν ἡμῶν.

Ὡς τὴν ἐγκράτειαν εἰδώς, αἰδέσιμον τοῖς Ἀγγέλοις, παμακκάριστε Φιλόθεε ταύτην, σὺ ἠσπάσω ἀληθῶς, ἕως τὸ πνεῦμα ἔδωκας, ἀπηλλαγμένον πάτερ, παντὸς κακοῦ καὶ ἀμόλυντον.

Τῇ τῆς πανάγνου ἐντολῇ, αἱ πύλαι τῆς φυλακῆς σου, αὐτομάτως ἠνεώχθησαν πάτερ, καὶ ἐῤῥήσθης τῶν δεσμῶν, καὶ ὡς διψῶσα ἔλαφος, ἔθεες πρὸς τὴν μόνην, παντὸς τοῦ κόσμου μεσίτριαν.

Ὑπομονὴν ὡς ἀληθῶς, οὐδεὶς ὡς ἄλλος ἀσκήσω, ταῖς παλέστραις τοῦ ἐχθροῦ καὶ ἐδείχθης, ὡς ἀδάμας ἰσχυρός, οὐδόλως σαλευόμενος, τὸν πύργον τῆς ψυχῆς σου, πάτερ παμμάκαρ Φιλόθεε.

Θεοτοκίον

Τῶν Χερουβεὶμ καὶ Σεραφείμ, ἐδείχθης ὑψηλοτέρα, Θεοτόκε σὺ γὰρ μόνη ἐδέξω, τὸν ἀχώρητον Θεόν, ἐν σοὶ γαστρὶ ἀμόλυντε, διὸ πιστοί σε πάντες ὕμνοις ἀγνὴ μακαρίζομεν.

Καταβασία. Τοὺς σοὺς ὑμνολόγους

Κάθισμα

Ἦχος δ.΄ Κατεπλάγη Ἰωσήφ

Τοῦ Χριστοῦ τὸν ἐραστὴν, καὶ ἀσκητῶν τὴν καλλονὴν, ὡς φωστῆρα φαεινόν, ἀναδειχθέντα ἐπὶ γῆς, καὶ τῶν νοσούντων ἀκέστορα παμμακάριστον, δεῦτε οἱ πιστοὶ εὐφημήσωμεν, καὶ μνήμην τὴν αὐτοῦ ἐκτελέσωμεν, ἐν ὑμνῳδίαις ἅπαντες καὶ εἴπωμεν, σκέπε τὰ τέκνα σου ὅσιε, καὶ ταῦτα ῥύου πάσης ἀνάγκης, παμμάκαρ Φιλόθεε.

Δόξα.

Τὸν τάφον σου Σωτὴρ

Τοῦ κόσμου τὰ τερπνά, καταλείψας ἐμφρόνως, τὰ ἄνω ἀγαθὰ ἐπεπόθησας πάτερ, ὡς θεῖα καὶ μόνιμα, θεοφόρε Φιλόθεε, διὰ τοῦτο οὖν συγκοινωνὸς μάκαρ ἐγένου, καὶ συμμέτοχος, τῆς τῶν Ἀγγέλων χορείας, Θεὸν δοξαζόμενον.

Καὶ νῦν. Θεοτοκίον

Ὁδήγησον ἡμᾶς, ἐν ὁδῷ μετανοίας, ἐκκλίνοντας ἀεὶ πρὸς κακὸν ἀνοδίας, καὶ τὸν ὑπεράγαθον παροργίζοντας Κύριον, ἀπειρόγαμε εὐλογημένη Μαρία, καταφύγιον ἀπεγνωσμένων ἀνθρώπων, Θεοῦ ἐνδιαίτημα.

Ὠδὴ δ΄ ὁ εἱρμός

»Σύ μου ἰσχύς, Κύριε σύ μου καὶ »Σ δύναμις, σὺ Θεός μου, σύ μου ἀ»γαλλίαμα ὁ πατρικοὺς κόλπους μὴ »λιπών, καὶ τὴν ἡμετέραν πτωχείαν »ἐπισκεψάμενος, διὸ σὺν τῷ προφήτῃ, »Ἀβακούμ σοι κραυγάζω, τῇ δυνάμει »σου δόξα ἄνθρωπε. δὶς

Μετὰ Θεόν, σὲ προστασίαν κεκτήμεθα, σὺ γὰρ μήτηρ, Θεοῦ ἐχρημάτησας τοῦ ποιητοῦ καὶ δημιουργοῦ, καὶ τὴν ἡμετέραν μορφὴν λαβόντος πανάμωμε, καὶ ταύτην σεσωκότος, ἐκ φθορᾶς καὶ θανάτου, καὶ τῇ θείᾳ σου δόξῃ δοξάζοντος.

Ὡς ἐκ φυλῆς, τοῦ βασιλέως ὑπάρχουσα, τὸν τῶν ὅλων, κατεξουσιάζοντα Λόγον Θεοῦ τέτοκας ἡμῖν, σάρκα γεγονότα καὶ μείναντα ἀναλλοίωτον, διὸ σὲ Θεοτόκον, ἀληθῶς καὶ κυρίως, Παναγία Παρθένε δοξάζομεν.

Θεὸν ἐκ σοῦ, τὸν σαρκωθέντα δυσώπησον, τὸν ἀτρέπτως διαμείναντα, τὸν σαρκωθέντα καὶ φυσικῶς, ἴσον τῷ Πατρί, καὶ σοὶ τῇ τεκούσῃ γενόμενον ὁμοούσιον, συγχώρησιν πταισμάτων, καὶ

ψυχῶν σωτηρίαν, τοῖς ὑμνοῦσί σε πίστει δωρήσασθαι.

Νῦν τὴν μορφήν, τῶν ἀθετούντων κατάβαλε, τῆς εἰκόνος, κόρη τὴν προσκύνησιν σοῦ τῆς σεπτῆς καὶ τοῦ ὑπὲρ νοῦν, ἐκ σοῦ σαρκωθέντος καὶ κόσμον ὅλον φωτίζοντος, καὶ πάντων τῶν ἁγίων, τοὺς δὲ πίστει τιμῶντας, καταφαίδρυνον μόνε πανύμνητε.

Τοῦ ἁγίου ὁ αὐτὸς

Ἵνα Θεῷ, προσομιλήσῃς Φιλόθεε, ὑπέκυψας, νόμῳ τῷ τοῦ πνεύματος καὶ νοητὴν δύναμιν λαβών, θεία πανοπλίᾳ τὸν νοητὸν ὄφιν ἔπληξας, διὸ καὶ νικηφόρος, ἀνεδείχθης τρισμάκαρ, τῶν δαιμόνων τὰ στίφη τροπούμενος.

Σοῦ ὁ Χριστός, τὴν πολιτείαν ἠγάπησε, διὰ τοῦτο, Παρθένος ἡ πάναγνος τὴν σὴν πορείαν ὡς ἀληθῶς, εὐθυνε παμμάκαρ, καὶ ὁδηγός σοι ἐγένετο, πρὸς πλάτος παραδείσου, ἵνα χαίρων κραυγάζῃς, τῇ δυνάμει σου δόξα φιλάνθρωπε.

Βίος ὁσός, ἀγγελικὸς ἀναδέδεικται, τῇ νηστείᾳ, ἥσπερ κατατέτηξας, ταῖς προσευχαῖς, αἷς ἐχρῷ συχνῶς, καὶ ταῖς ἀγρυπνίαις, δεήσεσιν ὦ Φιλόθεε, καὶ πάσας κακουχίας, ἃς περ ἔτλης γενναίως, πρὸς Χριστὸν ἀφορῶν πανσεβάσμιε.

Σὺ νέος ὤν, τὴν σωφροσύνην ἠγάπησας, ἐν τῷ γήρει, σὺ μεστὴν ἐκέκτησο βίῳ παντὶ τῷ καρτερικῷ, καὶ μακροθυμίαν, ἀγάπην τε ἀνυπόκριτον, πρὸς πάντας ἐπεδείκνεις, καὶ ἐδίδασκες πράττων, παμμακάριστε πάτερ Φιλόθεε.

Θεοτοκίον

Σὺ τῶν πιστῶν, καύχημα πέλεις ἀνύμφευτε, καὶ προστάτις, σὺ καὶ καταφύγιον χριστιανῶν τεῖχος καὶ λιμήν, πρὸς γὰρ τὸν Υἱόν σου ἐντεύξεις φέρεις πανάμωμε, καὶ σῴζεις ἐκ κινδύνων, τοὺς ἐν πίστει καὶ πόθῳ, Θεοτόκον ἀγνὴν σε γινώσκοντας.

Καταβασία. Τὴν ἀνεξιχνίαστον

Ὠδὴ ε΄. Ὁ εἱρμός

»Ἵνα τί με ἀπώσω, ἀπὸ τοῦ προσώ»που σου τὸ φῶς τὸ ἄδυτον, καὶ ἐ»κάλυψαί με, τὸ ἀλλότριον σκότος τὸν »δείλαιον, ἀλλ᾽ ἐπίστρεψόν με, καὶ πρὸς »τὸ φῶς τῶν ἐντολῶν σου, τὰς ὁδούς »μου κατεύθυνον δέομαι. δὶς

Ἀπειράνδρως Παρθένε, τὸν ἀπεριόριστον φύσει θεότητος, ἀνδρωθέντα Λόγον, δι᾽ ἡμᾶς τοὺς ἀνθρώπους συνέλαβες, ἐξ αἱμάτων κόρη, παρθενικῶν διαπλασθέντα, ὑπὲρ λόγον καὶ νόμον τῆς φύσεως.

Ὡραιώθης Παρθένε, τοῖς τῆς Παρθενίας σου ἀχράντοις κάλλεσι, καὶ τῆς πρώτης Εὔας, περιέστειλας αἶσχος τὸ δύσμορφον, τὸν Χριστὸν τεκοῦσα, περιβολὴν ἀθανασίας, χαριζόμενον τοῖς σὲ γεραίρουσιν.

Ἀληθῆ Θεοτόκον, πάντων ἐπιγνόντων σε πάναγνε Δέσποινα, τὸν ἐκ σοῦ τεχθέντα, Θεὸν Λόγον εἰδότες κηρύττομεν, ἐν δυσὶν οὐσίαις, θεληματικαῖς αὐτεξουσίαις, ὑπὲρ λόγον καὶ νόμον τῆς φύσεως.

Οἱ σὲ τεῖχος πλουτοῦντες, καὶ τῇ προστασίᾳ σου περιφρουρούμενοι, τῇ σῇ θείᾳ δόξῃ, ἐγκαυχώμενοι σὲ μακαρίζομεν, σὺ γὰρ Παναγία, τὴν τῶν ψυχῶν ἀεὶ πηγάζεις, εὐφροσύνην καὶ τὴν ἀγαλλίασιν.

Τοῦ ἁγίου ὁ αὐτὸς

Τῆς ψυχῆς σου τὸ ὄμμα, πρὸς Χριστὸν ἠτένιζες μάκαρ Φιλόθεε, καὶ τὰς σὰς αἰσθήσεις, ἐκυβέρνησας σαφῶς καὶ γέγονας, τῷ Θεῷ καὶ κτίστῃ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ναὸς σοφὲ ἡγιασμένος, καὶ τοῦ Πνεύματος κατοικητήριον.

Κατεμάρανας μάκαρ, τῆς σαρκὸς τὴν πύρωσιν Σταυροῦ τῷ σχήματι, ὅτι ἀσέμνως,πρὸς πορνείαν γυνή σε ἠρέθιζε, μὴ ἐκνεύσας ὅλως, ἐκ τῶν ὁδῶν τῆς σωφροσύνης, διὰ τοῦτο ἀξίως δεδόξασαι.

Σκολιώτατος δράκων, μηχαναῖς παντοίαις σε λαθεῖν ὑπήγετο, ψυχῆς τὸ ὡραῖον, ἀλλ᾽ εἰς μάτην αἱ τούτου ἐπίνοιαι, ὤφθησαν αὐτὸς γάρ, οὐδὲν λελόγισαι τὰ βέλη, ἐκ νηπίου τὰ κατὰ σοῦ μιμούμενα.

Κατεκόσμησας ὅλον, σοῦ τὸ νωθρὸν τῆς ψυχῆς πανσεβάσμιε, τὸν νοῦν σοι φρονίμως, ἡγεμόνα ποιήσας Φιλόθεε, διὰ τοῦτο ἔσχες, καὶ τὸν Χριστόν σε ὁδηγοῦντα, πρὸς πορείαν ἡνιοχοῦντα οὐράνιον.

Θεοτοκίον

Μητρικὴν παῤῥησίαν,τὴν πρὸς τὸν Υἱόν σου κεκτημένη Πάναγνε, συγγενοῦς προνοίας, τῆς ἡμῶν μὴ παρίδῃς ἱκέτας, ὅτι σὲ καὶ μόνην, χριστιανοὶ πρὸς τὸν Δεσπότην, ἱλασμὸν εὐμενῆ προβαλλόμεθα.

Καταβασία. Ἐξέστη τὰ σύμπαντα

Ὠδὴ στ'. Ὁ εἱρμὸς

»Ἱλάσθητί μοι Σωτήρ, πολλαὶ γὰρ αἱ »ἀνομίαι μου, καὶ ἐκβυθοῦ τῶν κα»κῶν, ἀνάγαγε δέομαι πρὸς σὲ γὰρ ἐ»βόησα,καὶ ἐπάκουσόν μου, ὁ Θεὸς τῆς »σωτηρίας μου.

Ἐπῆλθε τὸ παντουργὸν, ἐπὶ σὲ Πνεῦμα πανάμωμε, καὶ Λόγος ὁ τοῦ Θεοῦ, ἐν σοὶ κατεσκήνωσε καὶ σὰρξ ἐχρημάτισεν, ἀνεκδιηγήτως, διαμείνας ἀναλλοίωτος.

Ὡς ἔμψυχος κιβωτός, τὸν νομοδότην ἐχώρησας, ὡς ἅγιος δὲ ναός, ἐδέξω τὸν ἅγιον γενόμενον ἀμνόν, ἐπ᾽ εὐεργεσίᾳ, τῶν ἁμαρτωλῶν πανα-μώμητε.

Κυρίαν σε τοῦ παντός,καὶ Δέσποιναν ὀνομάζομεν, τὸν ὄντως ὄντα Θεὸν, ἀῤῥήτως γὰρ τέτοκας, τὸν πάντα ποιήσαντα, καὶ διακρατοῦντα, καὶ συνέχοντα τὰ πέρατα.

Θεὸν τεχθέντα ἐκ σοῦ, ἐπέγνωμεν Θεονύμφευτε, ὃν ἐξιλέωσαι νῦν, ὡς ἰσχύουσα τοῖς πίστει κραυγάζουσι, δωρηθῆναι λύσιν, τῶν πταισμάτων πανα-μώμητε.

Τοῦ ἁγίου ὁ αὐτὸς

Ζωῆς ὁρῶν ἀληθῶς, τῆς ὑπὲρ νοῦν ὦ Φιλόθε μάκρυνας τῶν πολλῶν, σαὐτὸν καὶ πηξάμενος βραχύ τι κατάλυμα, τῷ Θεῷ ὡμίλεις, οὐρανοῦ καὶ γῆς δεσπόζοντι.

Τὴν βροτοκτόνον σοφέ, κακίαν ἀποκρουσάμενος, καὶ τὰς ἐνέδρας αὐτοῦ,Φιλόθεε μηδόλως πτοούμενος, κατὰ μόνας ἔγνωκας, βιῶν θεοφόρε, ἡσυχίαν προελόμενος.

Ἵνα πλουτήσῃς σοφέ, σεπτῆς Τριάδος τὴν ἔλλαμψιν, τὸν νοῦν σου δι᾽ ἀρετῆς, ἐλάμπρυνας ἄριστα, ὅθεν ἀνα-δέδειξαι, ἐμφάσεσι θείαις, ἀτεχνῶς θεοειδέστατος.

Θεοτοκίον

Ῥυσθείημεν τῶν δεινῶν, πταισμάτων ταῖς ἱκεσίαις σου, Θεογενῆτορ Ἁγνή, καὶ τύχοιμεν Πάναγνε τῆς θείας ἐλλάμψεως, τοῦ ἐκ σοῦ ἀφράστως, σαρκωθέντος Υἱοῦ τοῦ Θεοῦ.

Καταβασία. Τὴν θείαν ταύτην.

Κοντάκιον

Ἦχος πλ. δ'. Τῇ ὑπερμάχῳ

Δι᾽ ἐγκρατείας, τῶν παθῶν παμμάκαρ ὅσιε, τοῦ ἀκαθάρτου δυσμενοῦς τὴν ὁρμὴν ἔστησας, καὶ ὡς ἄγγελος ἐπὶ τῆς γῆς ἐπολιτεύσω, τὰ ἐν κόσμῳ

δ᾽ ὡς μὴ ὄντα ἀπωσάμενος, τὰ οὐράνια ἐμφρόνως ἐπεπόθησας, διὰ τοῦτο νῦν, χαίρεις πάτερ Φιλόθεε.

Ἕτερον ἦχος β'. Τὰ ἄνω ζητῶν

Ἀγάπῃ Χριστοῦ πυρούμενος ἀείμνηστε, καὶ τούτου ἑλικῶς μέχρι τέλους ἀντεχόμενος, οὐδαμῶς ἠμαύρωσας τῆς ψυχῆς τὸ ὡραῖον Φιλόθεε, ὡς ἔχων οὖν παῤῥησίαν, πρεσβεύεις ἑκάστοτε ὑπὲρ πάντων ἡμῶν.

Ὁ Οἶκος

Φείσαί μου Κύριε τοῦ σοῦ δούλου, καὶ λύσιν δωρησαί μοι τῶν ἐγκλημάτων μου, ἵνα ὕμνοις ἀπαύστως γεραίρω τὸ σὸν ἀμέτρητον ἔλεος, Πανάγιε Δέσποτα, καὶ τὸν πιστόν σου θεράποντα εὐφημήσω ᾠδαῖς Φιλόθεον τὸν ἀσκητήν, τὸ ἀγλάϊσμα τῶν ἐν τῷ ὄρει τοῦ Ἄθω ἡλίου δίκην ἐν τῇ ἀσκήσει ἐκλάμψαντα, οὗ τὴν τρισόλβιον καὶ αὐτοῖς τοῖς ἀγγέλοις πανεδαίσιμον κάραν θαυμαστὴν διὰ τῶν θαυμάτων τοῖς πᾶσιν ἀπέδειξας καὶ τῶν νοσούντων ψυχῆς τε καὶ σώματος ὀξυτάτην βοήθειαν, πολλὴν γὰρ πλουτεῖ πρὸς σὲ παῤῥησίαν, ἔνθεν καὶ πρεσβεύεις ἑκάστοτε ὑπὲρ πάντων ἡμῶν.

Τῷ αὐτῷ μηνὶ κα΄. μνήμη τοῦ ὁσίου καὶ θεοφόρου Πατρὸς ἡμῶν Φιλοθέου τοῦ ἐν τῷ Ἄθω ὄρει ἀσκήσαντος.

Ὁ Φιλόθεος τὸν Θεὸν φιλῶν μάλα,
Αὐτῷ συνοικεῖ γηθοσύνως ἐν πόλῳ.
Εἰκάδι πρώτῃ Φιλόθεος γῆθεν μετέβηκε

Εἰς τὴν τρισόλβιον καὶ θαυματουργὸν αὐτοῦ κάραν, ἣν πλουτεῖ ἤδη ἡ τῆς ὑπεραγίας Θεοτόκου Μονὴ ἡ ἐπικεκλιμένη Πέτρας κειμένη ἐν τοῖς ὁρίοις τῶν Ἀγράφων.

Ἐλθὲ προθύμως πᾶς νοσῶν οἷαν νόσον

Πρὸς τὴν πάμπλουτον θαυμάτων τούτου κάραν.

Καὶ ῥῶσιν ἕξεις τῶν παθῶν σου αὐτίκα.

Οὗτος ὁ τῷ ὄντι φίλος καὶ φιλούμενος τῷ Θεῷ Φιλόθεος,εἰς τὴν τῆς Μακεδονίας Χρυσόπολιν ἀνέθαλε, προγόνους εὐσεβεῖς ἔχων καὶ ὁρμωμένους ἐκ τῆς Ἐλατείας χώρας τῆς Ἀσιανῶν ἐπαρχίας, οἳ διὰ τὸν κατ᾽ ἐκεῖνον τὸν καιρὸν τῶν ἀγαρηνῶν φόβον μετανάσται τῆς ἰδίας πατρίδος γενόμενοι, τῇ εἰρημένῃ πόλει κατῴκησαν. Ἐν παιδικῇ δὲ ἡλικίᾳ, τῷ ἑτέρῳ τινὶ ὁμαίμονι ὁ Φιλόθεος τυγχάνων,ἰσμαηλιτικαῖς χερσὶν ὑπὸ τῶν τῆς χρυσοπόλεως παραδίδονται, οἳ πρὸς τὸν τῶν Ἀγαρηνῶν αὐτῶν ἀρχηγὸν Ἀμηρᾶν καλούμενον ἀχθέντες, εἱρκτῇ ἐγκλείονται.

Δεινοπαθούσης οὖν τῆς μητρὸς ἐπὶ τῇ τῶν οἰκείων παίδων ἀπωλείᾳ, ὁ γὰρ πατὴρ αὐτοῦ προεξεμέτρησε τὴν ζωὴν καὶ σφοδρῶς καὶ ἀπαρακλήτως ὀδυνωμένης εἰς τὴν Πανάχραντον Θεοτόκον προσληπαρούσης ἐπήκουσε ταύτης ἡ εὐπήκοος τοῦ Θεοῦ Λόγου μήτηρ καὶ τῇ εἱρκτῇ ἐπιστᾶσα, εὐθέως ἐν τῷ τῆς μητρὸς αὐτὸν δῆθεν εἴδει ῥύεται αὐτοὺς παραδόξως καὶ πρὸς Νεάπολιν ἐν αὐτοῖς παραγενομένη, ἔν τινι ἱερῷ Μονιδρίῳ ἐπ᾽ ὀνόματι ταύτης ὁδηγεῖται καὶ συνίστωρ καθίσταται. Κακεῖ τὴν τρίχα καρέντες τὰ ἱερὰ ἐκπαιδεύεσθαι δίδονται γράμματα ἔν τινι τῶν δοκίμων καὶ τὴν μοναστικὴν ταύτην γυμνάζεσθαι. Προϊόντος δὲ τοῦ καιροῦ καὶ τῶν παίδων ἐπιδιδόντων κατ᾽ ἀρετήν, νεωκόρους τούτους τῆς μονῆς καθιστῶσι, πολλὴν οὖν καὶ ἄμετρον ὁ Φιλόθεος μᾶλλον μετερχόμενος ἀρετὴν καὶ μετὰ μεγίστης ὢν τῆς τιμῆς καὶ ταύτην ἐπιβλαβῆ εἶναι οἰόμενος· (συνέβη γὰρ καὶ μονάζουσάν τινα ὡραιότητι σώματος διαλάμπουσαν, ἐνοχλῆσαι ἐπὶ πορνεία τὸν σώφρονα καὶ τοῦτον ταύτῃ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

